# ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΣΑΒΒΑ

## ΤΟΥ ΒΑΤΟΠΑΙΔΙΝΟΥ

## ΤΟΥ ΔΙΑ ΧΡΙΣΤΟΝ ΣΑΛΟΥ

ΙΕΡΑ ΜΕΓΙΣΤΗ ΜΟΝΗ ΒΑΤΟΠΑΙΔΙΟΥ

# ΤΥΠΙΚΗ ΔΙΑΤΑΞΙΣ

*Εἰ τύχοι ἡ μνήμη τοῦ Ἁγίου ἐν ἡμέρᾳ Κυριακῇ, συμ ψάλλεται ἡ Ἀκολουθία αὐτοῦ μετὰ τῶν Ἀναστασίμων, ὡς ἑξῆς:*

*Εἰς τὸν Μικρὸν Ἑσπερινὸν λέγομεν τὰ Προσόμοια τῆς φυλλάδος. Δόξα, τοῦ Ἁγίου· Καὶ νῦν, τὸ Δογματικὸν τοῦ Μικροῦ Ἑσπερινοῦ εἰς τὸν τυχόντα ἦχον. Εἰς τὰ Ἀπόστιχα ψάλλομεν πρῶτον ἓν Ἀναστάσιμον Στιχηρὸν τοῦ τυχόντος ἤχου καὶ εἶτα τὰ τοῦ Ἁγίου. Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ Θεοτοκίον.*

*Εἰς τὸν Μέγαν Ἑσπερινὸν ψάλλομεν μίαν στάσιν τοῦ «Μακάριος ἀνήρ» καὶ ἀναγινώσκεται τὸ λοιπὸν Κάθισμα χύμα. Εἰς τὸ Κύριε Ἐκέκραξα ἱστῶμεν δέκα στίχους: δ´ Ἀναστάσιμα καὶ ς´ τοῦ Ἁγίου (γ´ τοῦ Πρώτου ἤχου καὶ γ´ τοῦ Δευτέρου). Δόξα, τοῦ Ἁγίου. Καὶ νῦν· τὸ Δογματικὸν τοῦ τυχόντος ἤχου. Εἴσοδος, τὸ προκείμενον τῆς ἡμέρας, τὰ Ἀναγνώσματα καὶ ἡ Λιτὴ τοῦ ἁγίου. Δόξα, τοῦ Ἁγίου. Καὶ νῦν, τὸ β´ Θεοτοκίον ἐκ τῆς Ὀκτωήχου. Εἰς τὰ Ἀπόστιχα ἓν Ἀναστάσιμον Στιχηρὸν τοῦ τυχόντος ἤχου καὶ τὰ Προσόμοια τοῦ Ἁγίου. Δόξα, τοῦ Ἁγίου. Καὶ νῦν, Θεοτοκίον. Εἰς τὴν εὐλόγησιν τῶν ἄρτων τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου, δίς, καὶ τὸ «Θεοτόκε Παρθένε».*

*Εἰς τὸ «Θεὸς Κύριος», Ἀπολυτίκιον Ἀναστάσιμον δίς· Δόξα, τοῦ Ἁγίου· Καὶ νῦν, Θεοτοκίον. Καθίσματα εἰς τὴν α´ Στιχολογίαν πάντα τὰ Ἀναστάσιμα. Εἰς τὴν β´ Στιχολογίαν Καθίσματα τοῦ Ἁγίου. Ὁ πολυέλαιος, Ἐξομολογεῖσθε, ἐκλογὴ Ὁσιακή· καὶ εὐθὺς τὰ Εὐλογητάρια. Μετὰ τὴν Ὑπακοήν, Καθίσματα τοῦ Ἁγίου, οἱ Ἀναβαθμοὶ τοῦ τυχόντος ἤχου καὶ τὰ λοιπὰ ὡς συνήθως τῆς Κυριακῆς. Κανόνες: ὁ Ἀναστάσιμος εἰς ς´ (μετὰ τῶν δύο τῆς Θεοτόκου) καὶ τοῦ Ἁγίου οἱ δύο ἀνὰ δ´. Καταβασίαι: «Ἀνοίξω τὸ στόμα μου». Ἀπὸ γ´ ᾠδῆς: Κοντάκιον καὶ Οἶκον Ἀναστάσιμα (χύμα). Εἶτα Καθίσματα τοῦ Ἁγίου. Ἀφ᾽ ς´ ᾠδῆς Κοντάκιον καὶ Οἶκον τοῦ Ἁγίου. Μετὰ τό, Ἅγιος Κύριος, ὁ Θεὸς ἡμῶν... Ἐξαποστειλάριον Ἀναστάσιμον, τοῦ τυχόντος ἑωθινοῦ. Εἶτα, τὰ Ἐξαποστειλάρια τοῦ Ἁγίου ὡς ἔχουν. Εἰς τοὺς Αἵνους: δ´ Ἀναστάσιμα, καὶ δ´ τοῦ Ἁγίου. Δόξα, τοῦ Ἁγίου. Καὶ νῦν, Ὑπερευλογημένη. Δοξολογία Μεγάλη, καὶ μετ᾽ αὐτὴν τὸ Ἀναστάσιμον Τροπάριον. Τὸ Ἑωθινὸν λέγεται πρὸ τῆς α´ ὥρας.*

*Εἰς τὴν Λειτουργίαν οἱ Μακαρισμοὶ εἰς ιβ´: Ἀναστάσιμα τοῦ ἤχου εἰς δ´ καὶ τοῦ Ἁγίου ἐκ τῶν δύο κανόνων εἰς η´. Ἀπολυτίκια: Ἀναστάσιμον δίς, τοῦ Ἁγίου δίς, καὶ τὰ συνήθη· Εἶτα· Ὑπακοή, Κοντάκιον τοῦ Ἁγίου καὶ τέλος τῇ Ὑπερμάχῳ. Προκείμενον καὶ Ἀλληλούϊα τοῦ Ἁγίου. Ἀπόστολον καὶ Εὐαγγέλιον τῆς Κυριακῆς καὶ τοῦ Ἁγίου. Κοινωνικόν: «Αἰνεῖτε τὸν Κύριον...» καὶ «Εἰς μνημόσυνον ...». Εἰς τὴν εὐλόγησιν τῶν Κολλύβων Ἀπολυτίκον καὶ Κοντάκιον τοῦ Ἁγίου καὶ «Τῇ πρεσβείᾳ Κύριε». Εἰς τὴν Τράπεζαν τὰ Ἀναστάσιμα καὶ τοῦ Ἁγίου.*

*Εἰ δὲ τύχει ἐν ἄλλῃ ἡμέρᾳ, ἀκολουθοῦμεν τὴν διάταξιν ὡς φαίνεται κάτωθι.*




## Τῇ 15η τοῦ μηνὸς Ἰουνίου μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Σάββα τοῦ Βατοπαιδινοῦ καὶ διὰ Χριστὸν Σαλοῦ.

### Ἐν τῷ Μικρῷ Ἑσπερινῷ

**Εἰς τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου.**

*Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.*

Δεῦτε τῶν Πατέρων ὁ χορός, τῶν ἐν Ὄρει Ἄθω οἰκούντων, Θεὸν δοξάσωμεν, θαῦμα γὰρ ὑπέδειξεν, ἐν τοῖς ἐσχάτοις και ροῖς, ὑπεράνθρωπον ἄσκησιν, Πατρὸς ἡμῶν Σάββα, χρόνοις ἐπὶ πλείοσι, βεβιωμένου καλῶς· ὅνπερ ὡς ἰσάγγελον ὄντα, δεῦτε νῦν τιμῶντες ἐν ὕμνοις, ζῆλον τὸν αὐτοῦ ἐκμιμησώμεθα.

Θείαν θυμηδίαν ἀληθῶς, Σάββα σοῦ ὁ βίος παρέχει, πᾶσι τοῖς βλέπουσι, βίον τὸν ἰσάγγελον, ὅν περ διήνυσας· τὰ σὰ ἆθλα καὶ σκάμματα, ζωῆς τῆς ἀμέμπτου, πάντας διεγείρουσι πρὸς ζῆλον ἔνθεον. Σοὶ νῦν εὐλαβῶς προσιόντες, σὲ παρακαλοῦμεν ἐν πόθῳ, ἴθυνον ἡμᾶς πρὸς τελειότητα.

Πᾶσαν τρικυμίαν τῶν παθῶν, Πάτερ κατεμάρανας σφόδρα, τῇ ἐκρατείᾳ σαρκός, ἄλλος ὥσπερ ἄσαρκος ἐν γῇ ἠγώνισαι, ἐν ἐρήμοις καὶ ὄρεσι, ἐν πόνοις καὶ μόχθοις· ὅθεν καταγώγιον γέγονας Πνεύματος, Σάββα Βατοπαίδου τὸ κλέος, μέμνησο ἡμῶν τῶν ἐκ πόθου, τὸ σεπ τὸν μνημόσυνον τελούντων σου.

Δόξα τῷ δοξάσαντι Θεῷ, πίστιν διὰ σοῦ τὴν ἁγίαν, Σάββα πανόσιε· σὺ γὰρ πράξει ἔδειξας καὶ βίῳ ἔπεισας, ἐξασκεῖν τοὺς τὴν ἔνθεον, ζωὴν ἑλομένους, λόγῳ ἐφελκόμενος, καὶ παραδείγματι· ὅθεν συνελθόντες ἐν ὕμνοις, τὴν ἱερωτάτην σου μνήμην, μάκαρ ἑορτάζομεν ἐν ᾄσμασιν.

*Δόξα. Ἦχος β΄.*

Ἡ τοῦ Ἁγίου Πνεύματος ζωοπάροχος Χάρις, τῇ σῇ ψυχῇ ἐνοικοῦσα, Σάββα ἱερώτατε, πρὸς τὸ συνημμένον σῶμά σου, διεβίβασε τοῦ θείου κάλλους αὐτῆς τὰ τεκμήρια· ἡ γὰρ ἰσάγγελος μετὰ σώματος πολιτεία σου, ὑπὲρ πᾶσαν ἀνθρώπων ἔννοιαν, ὑπὲρ πάντα νόμον τῆς φύσεως ἐξικνουμένη, ἡμᾶς τοὺς φοιτητάς σου πρὸς δόξαν συγκαλεῖται Χριστοῦ τοῦ Θεοῦ ἡμῶν. Ὢ δόξης ἀκραιφνοῦς, ἧσπερ ἠξίωσαι θεοδόξαστε Πάτερ! Ἀλλ᾽ αἴτησαι πρεσβείαις σου ἀξιάγαστε, πᾶσι τοῖς εὐλαβῶς τιμῶσί σου τὰ μνημόσυνα, παρὰ Χριστοῦ τοῦ Θεοῦ, δωρηθῆναι τὸ μέγα καὶ πλούσιον ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου, εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ· φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

**Εἰς τὸν Στίχον.**

**Στιχηρὰ Προσόμοια.**

***Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.***

Σκέπεις περιφρουρῶν, Μονὴν Βατοπαιδίου, ἐν ᾗ κατῴκεις Σάββα, ἐπιβουλῆς παντοίας, τὴν ποίμνην σου ῥυόμενος.

**Στίχ.** *Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.*

Ἤχθης ὡς ἐν Χωρήβ, Ἠλιοὺ ὁ Θεσβίτης, ἐν Ὄρει τῷ τοῦ Ἄθω, εἰσδύσας ὡς θεόπτης, εἰς γνόφον Σάββα ἄδυτον.

**Στίχ.** *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον ἐν ταῖς ἐντολαῖς αὐτοῦ θελήσει σφόδρα.*

Μέγιστον θησαυρόν, πλουτοῦμεν τὸν σὸν βίον, Σάββα ἡμῶν προστάτα, ἐγκύπτοντες εἰς τοῦτον, ὡς βίβλον θεοτύπωτον.

***Δόξα. Καὶ νῦν. Ὅμοιον.***

Σέλας τὸ τριλαμπές, Πάτερ Υἱὲ καὶ Πνεῦμα, πρεσβείαις τοῦ σοῦ Σάββα, καὶ τῆς Πανάγνου Κόρης, ἐλέησον τοὺ δούλους σου.

**Νῦν ἀπολύεις, τὸ Τρισάγιον· καὶ τὸ Ἀπολυτίκιον.**

***Ἦχος γ΄. Θείας πίστεως.***

Ἔργοις ἔλαμψας, τῆς εὐσεβείας, πᾶσαν ηὔγασας, τὴν οἰκουμένην, ὑψοποιῷ τῇ ταπεινώσει κοσμούμενος, Βατοπαιδίου Μονῆς σεμνολόγημα, καὶ Ὄρους Ἄθω καλλονὴ καὶ ὡράϊσμα· Σάββα πάνσοφε, χαρίτων ἐνθέων ἔμπλησον, τοὺς πόθῳ σου τὴν μνήμην ἑορτάζοντας.

***Θεοτοκίον.***

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

**Καὶ ἀπόλυσις.**

## Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ

**Στιχολογογοῦμεν τὸ «Μακάριος ἀνήρ». Εἰς δὲ τὸ «Κύριε ἐκέκραξα», ἱστῶμεν στίχους η΄ καὶ ψάλλομεν τὰ κάτωθι Στιχηρὰ Προσόμοια τοῦ Ἁγίου.**

***Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.***

Σήμερον φαιδρῶς ἀγάλλονται, τῶν Ἀγγέλων τάξεις, Ἀποστόλων σύλλογος, Προφῆται σὺν ἀσκηταῖς, καὶ θείοις Μάρτυσι, τῇ μνήμῃ τῇ ἱε ρᾷ, Σάββα τοῦ θείου ἐνθέως γηθόμενοι· σεμνύνεται ἡ Μονή, Βατο παιδίου, καὶ χαίρει χορεύουσα, καὶ καταγεραίρει ὕμνοις, συγκαλοῦσα ἅπαντας, μονα - στὰς καὶ μιγάδας, σὺν αὐτοῖς πανηγυρίζουσα. *(δις)*

Βίου τοῦ σεπτοῦ σου πάντιμε, ἡ φθογγὴ ἐξῆλθεν, εἰς τὰ γῆς νῦν πέ ρατα, καὶ πάσας τῶν εὐσεβῶν, ψυχὰς κατηύφρανε, τῶν πόθῳ ἐν τῇ Μο νῇ, προσερχομένων τελέσαι τὴν μνήμην σου, παντός τε φθοροποιοῦ, ἐ-ξαιτουμένων τὴν ῥῶσιν παθήματος· Σάββα μοναστῶν ἡ δόξα, Ἄ θω μέγα καύχημα, τῆς Μονῆς σου τὸ θαῦμα, ὑπερεύχου τῶν τι μώντων σε.

Ὕμνοις καὶ ᾠδαῖς τιμήσωμεν, ἐπαξίως πάντες, Σάββαν τὸν παν θαύμαστον, τὸν κήρυκα τῆς Χριστοῦ μεγαλειότητος, τὸν πάσας τὰς μη χανάς, τοῦ πονηροῦ ἐν ἀνδρείᾳ πατήσαντα, δι᾽ οὗ περ πάντε ς πιστοί, τῇ εὐσεβείᾳ στεῤῥῶς ἐστηρίχθημεν, τὸν πρὸς ἐφετῶν τὸ ἄκρον, κατὰ πό θον φθάσαντα, καὶ χοροῖς Ἀσωμάτων, εἰς αἰῶνας ἀγαλ λόμενον.

**Ἕτερα Προσόμοια.**

***Ἦχος β΄. Ποίοις εὐφημιῶν στέμμασιν.***

Ποίοις εὐφραντικοῖς μέλεσιν, ὑπαντήσωμεν φωτὶ τοῦ Ἄθω, Σάβ βαν τὸν σοφὸν χριστοκήρυκα, καὶ ὑπὲρ βροτοὺς ἀγγελόφρονα; Τὴν τῶν μοναζόντων εὐωδίαν, τὸ μέγα, Βατοπαιδίου ἐγκαλλώπισμα, τὸν πύρ γον, τῆς ταπεινώσεως τὸν ἄῤῥηκτον, τὸν τῆς ἀσκήσεως στέφει, ἐγκε - κοσμημένον, τὸν ἀένναον πο ταμόν, πηγήν τε τὴν γέμουσαν, δι δαγμάτων ἀνυμνήσωμεν. *(δις)*

Ποίοις ὑμνῳδιῶν κάλλεσιν, ἀναδήσωμεν Σάββαν τὸν θεῖον; οὗτος ἰσαγγέλως γὰρ ἤσκησε, τῷ Θεῷ ἀεὶ συγγινόμενος, καὶ πρὸς ὑπερ κόσμια μετέβη, τὴν δόξαν, κατανοεῖν τὴν ἀνεκλάλητον, πυξίον, ἡμῖν κα θάπερ θεοτύπωτον, αὐτοῦ τὸν πάν σεπτον βίον, τὸν θαυμάτων πλήρη, τοῖς μονάζουσι παρασχών· ἐν ᾧ καὶ ἐγκύπτοντες, θείαν χάριν ἀρυ όμεθα.

Ποίοις μελῳδικοῖς ᾄσμασι, διηχήσωμεν τῷ θεοσόφῳ, τῷ ἀσκητι κῶς διαπρέψαντι, καὶ τοὺς ἐν τῷ Ἄθῳ σοφίσαντι; Τὸ στιλπνὸν τοῦ Πνεύ ματος δοχεῖον, ἀλείπτ ην, ἐν καρτερίᾳ τὸν σοφώτατον, διώκτην, δει νῶν πνευμάτων μακαρίσωμεν, Βατοπαιδίου φωστῆρα, οὗ ὁ βίος πάντας, καταπλήττει καὶ ἐξιστᾷ· τοῖς πόθῳ τε μέλπουσι, τούτου μνή μην χάριν δίδωσιν.

**Δόξα.** ***Ἦχος β΄.***

Τὸν Χριστοῦ ἀσκητήν, τὸν ἀνέσπερον λαμπρὸν φωστ ῆρα Βατοπαιδίου Μονῆς, τὴν μυροθήκην τῶν χαρισμάτων, καὶ στήριγμα μέγι στον τῶν ἐν τῷ Ἄθῳ καὶ ποδηγέτην, τὸν δεδοξασμένον Σάββαν σήμε ρον, μοναστῶν στίφη κατὰ χρέος εὐφημήσωμεν. Οὗτος γὰρ βίον ἐν τῇ γῇ ἔσχεν οὐράνιον, ἔνθεν καὶ θαυμάτων χάριν πλουσίως ἀπείληφε· καὶ πρὸς φῶς προσπελάσας τὸ ἀληθινόν, φῶς γενέσθαι κατὰ χάριν ἠξίωται. Ἀλλ᾽ ὦ Πατέρων κράτιστε, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει τελούντων, τὸ ἱερόν σου μνημόσυνον,

***Καὶ νῦν. Ὁ αὐτός.***

***Θεοτοκίον, Δογματικόν.***

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χ άριτος ἐλθούσης· ὡς γὰρ ἡ βάτος οὐκ ἐκαίετο καταφλεγομένη, οὕτω Παρθέ νος ἔτεκες, καὶ Παρ θένος ἔμεινας· ἀντὶ στύλου πυρός, δικαιοσύνης ἀνέτει λεν Ἥλιος· ἀντὶ Μωϋσέ ως Χριστός, ἡ σωτηρία τῶν ψυχῶν ἡμῶν.

**Εἴσοδος, «Φῶς ἱλαρόν», τὸ Προκείμενον τῆς ἡμέρας**
**καὶ τὰ Ἀναγνώσματα.**

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ΄ 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία, σύντριμμα· οἱ δὲ εἰσὶν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης, καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσον ται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυ σὸν ἐν χω νευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θ υσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆ ρες ἐν καλάμῃ διαδραμοῦνται. Κρι νοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶ νας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ συνήσου σιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ. Ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκο πὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. ε΄ 15)*

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λή ψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λή ψεται πανοπλίαν, τὸν ζῆλον

αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαίλαψ ἐκλιμκήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.* *(Κεφ. κδ΄ 7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ, διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Εἰς τὴν Λιτήν.

## Πρῶτον τὸ Ἰδιόμελον τῆς Μονῆς.

*Ἦχος α΄.*

Τῷ ἕκτῳ μηνί, ὁ Ἀρχιστράτηγος ἀπεστάλη, πρὸς σὲ τὴν Παρθένον καὶ Ἁγνήν, μηνύσαι σοι τὸν λόγον τῆς σωτηρίας, ἅμα δὲ καὶ καλέσαι σε· χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ· τέξῃ Υἱὸν τὸν πρὸ αἰώνων ἐκ Πατρός· καὶ σώσει τὸν λαὸν αὐτοῦ, ἐκ τῶν πταισμάτων αὐτῶν.

## Ἰδιόμελα τοῦ Ὁσίου. *Ἦχος α΄.*

Εὐφραίνου ἐν Κυρίῳ, Βατοπαιδίου Μονὴ ἡ ἀρίζηλος, εὐφροσύνην τὴν ἐν Θεῷ· ἀγάλλου καὶ χόρευε, ὑπὲρ πάντα τοῦ Ἄθω τὰ ἱερὰ φροντιστήρια· ἰδοὺ γὰρ κατέχεις ἐν κόλποις σου, σὺν τοῖς λοιποῖς σου τέκνοις, τὸν θαυμάσιον Σάββαν, τὴν εὐλογίαν δωρούμενον, τοῖς πρὸς αὐτὸν προσιοῦσι μετὰ πίστεως. Ὅθεν χρεωστικῶς τὴν μνήμην αὐτοῦ ἑορτάζουσα, πνευματικοῖς ᾄσμασι αὐτῷ ἀναβόησον· ὄμβρισον δαψιλῶς τῇ ἐνεγκαμένῃ σε κατὰ πνεῦμα Πανόσιε, ψυχικὴν τοῖς ὁμαίμοσί σου σωτηρίαν, καὶ κινδύνων ἀφάρπασον, καὶ πάσης περιστάσεως, τοὺς ἐν πίστει ἐκτελοῦντας, τὸ ἱερόν σου μνημόσυνον.

### *Ὁ αὐτός.*

Τοῖς ἀσκητικοῖς ἀγῶσιν ἑαυτὸν κατακοσμήσας, Σάββα τρισόλβιε, σύσκηνος γέγονας τῶν ἀπ᾽ αἰῶνος Ὁσίων, τὴν αὐτῶν ζηλώσας ἄμεμπτον πολιτείαν, εἴληφας τὸ βραβεῖον τῆς καρτερίας σου. Ὅθεν ἡ Μονή σου κομπάζει τὰ σὰ παλαίσματα· τὸ τοῦ Ἄθωνος Ὄρος, χαρμοσύνως σήμερον ἐκτελεῖ τῆς μνήμης σου τὴν πάνσεπτον Ἑορτήν· ἡμεῖς δὲ τὰ τέκνα σου συναχθέντες ἐπὶ τὸ αὐτό, πνευματικοῖς ᾄσμασι τερπνῶς εὐφημοῦμέν σε, δρεπόμενοι ταῖς πρεσβείαις σου, παρὰ Χριστοῦ ἱλασμόν, καὶ τὸ μέγα ἔλεος.

### *Ἦχος β΄.*

Δεῦτε μοναστῶν ὁ σύλλογος, καὶ Βατοπαιδίου τὸ ἄθροισμα· δεῦτε καὶ χορείαν συστήσωμεν, ἐν τῇ μνήμῃ Σάββα τοῦ μάκαρος· οὗτος γὰρ καὶ μεθ᾽ ἡμῶν ὑπάρχων, ἐνδιαίτημα τὸν οὐρανὸν ἐκέκτητο, καὶ ὑποβάθρᾳ τὴν ταπεινοφροσύνην χρησάμενος, πρὸς τὴν ἐκεῖσε ἄνοδον, τοῖς Ἀγγέλοις συναυλίζεται· σιγῇ δὲ τῆς αὐτοῦ ἀρετῆς, ὡς ὑπὸ μόδιον ἐκρύπτετο· ἀλλ᾽ οὐ πέφυκε τὰ τῆς ἀρετῆς, τῷ σκότει ἐγκαλύπτεσθαι· οὐδὲ δυνατὸν τὸ ἀψευδὲς στόμα ψευσθῆναι, Χριστοῦ τοῦ Θεοῦ· ἀλλ᾽ ἀναλάμπειν τηλαυγῶς, καὶ ἡλίου φανώτερον. Ἀλλὰ Πάτερ, ἐν οὐρανοῖς περιπολῶν, ἡμῖν ᾀεὶ σύνεσο, καὶ ἐνδυνάμωσον ἡμᾶς, τὰ πυρφόρα τοῦ πονηροῦ κατασβεννύειν βέλη, ἵνα σὺν σοὶ ἀπολαύσωμεν, ὧν ἀγαθῶν θεόθεν ἀπολέλαυκας.

### ***Δόξα.*** *Ἦχος πλ. α΄.*

Ἐκ τῆς λαμπρότητος τῶν ἀγώνων σου, τὴν χάριν τῶν ὑπὲρ φύσιν θαυμάτων εἴληφας· μοναζόντων δὲ κανὼν ἐχρημάτισας, ὡς τοῦ Ἁγίου Πνεύματος κατοικητήριον· ὅθεν καὶ πρὸς οὐρανοὺς μεταστάς, εὐφραίνεις ἡμᾶς τῇ ἐπιδείξει, τῶν ἱερῶν τοῦ βίου κατορθωμάτων σου· ὧν καὶ τὴν θεόπνευστον συνθήκην κατέχοντες, καὶ πόθῳ ἐγκύπτοντες, Σάββα παμμάκαρ Πατὴρ ἡμῶν σοῦ δεόμεθα· αἴτησαι ἀξιάγαστε, πᾶσι τοῖς εὐλαβῶς τιμῶσί σου τὰ μνημόσυνα, παρὰ Χριστοῦ τοῦ Σωτῆρος, τὸ μέγα ἔλεος.

### ***Καὶ νῦν.*** *Θεοτοκίον.*

Μακαρίζομέν σε, Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε, οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄῤῥηκτον, τὴν ἀῤῥαγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

## Εἰς τὸν Στίχον.

### Στιχηρὰ Προσόμοια.

### *Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις ὁ θείου ζήλου πλησθείς, καὶ ἐνασκήσας, Σάββα μάκαρ ὡς Ἄγγελος, καὶ βίου ταῖς προτροπαῖς σου, καὶ διδαχῶν προχοαῖς, τῶν σῶν τέκνων πάντοτε κηδόμενος. Καὶ νῦν παναοίδιμε, τοὺς πιστῶς σε γε-

ραίροντας, καὶ τὴν σὴν μνήμην, ἐν ᾠδαῖς ἀναμέλποντας, κατα πλούτησον, εὐωδίαις τοῦ Πνεύ ματος, χάριτος ἐμπιπλῶν ἀεί, λιταῖς εὐ προσδέκτοις σου, θείαις παμμάκαρ ὑψόθεν, καὶ παῤῥησίας δεόμενος, τυχεῖν καὶ ἐλέους, ἐν ἡμέρᾳ τῆς δικαίας, δίκης θεόληπτε.

**Στίχ.** *Καυχήσονται Ὅσιοι ἐν δόξει καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Χαίροις ὁ θείαν χάριν λαβών, ξένως βιῶσαι, καὶ γενέσθαι ὑπό δειγμα, ἀσκήσεως καὶ ἀγάπης, ὑπακοῆς σιωπῆς, καὶ ἐξόχως Σάββα τα πεινώσεως. Καὶ νῦν παμμακάριστε, τὰ σὰ τέκνα χαρίτωσον, μνήμην σου θείαν, ἐν ᾠδαῖς ἀναμέλποντα, καὶ ἀνάπλησον ἀρετῶν θεοσδότων σου· ὅπως οἱ πλουτιζόμενοι, αὐτῶν ἐπιδόσεσι, πίστει καὶ πόθῳ τι μῶμεν, τὴν ἱεράν σου πανήγυριν, ψυχῶν ἡμῶν πάθη, ἀπελαύνοντες πρε σβείαις, θεοπειθέσι σου.

**Στίχ.** *Τίμιος ἐναντίον Κυρίου ὁ θά νατος τοῦ Ὁσίου αὐτοῦ.*

Χαίροις ὁ κληρονόμος φανείς, τῆς Ἀντωνίου τε καὶ Σάββα ἀσκή σεως, Ἐφραὶμ Εὐθυμίου Παύλου, καὶ τῶν λοιπῶν ἀσκητῶν, τῶν διο δευσάντων τὴν ἐπίπονον, ὁδὸν εἰς εὐόδωσιν, ἀρετῆς καὶ κατόρθωσιν· οἳ ἐπλανῶντο, ἐν ἐρήμοις καὶ ὄρεσι, καὶ ὀπαῖς τῆς γῆς, συνεχῶς θανα τούμενοι· ὧν περ οὐκ ἦν ἀντάξιος, ὁ κόσμος ὡς γέγραπται· οὓς ἀκρι βῶς σὺ ζηλώσας, νῦν σὺν αὐτοῖς Σάββα γέγηθας, Χριστὸν ἱκετεύων, τοῖς ὑμνοῦσί σε διδόναι, τὸ μέγα ἔλεος.

### *Δόξα. Ἦχος πλ.δ΄.*

Τὸν ἄδυτον γνόφον τῆς ἐν Πνεύματι θεωρίας, εἰσελθὼν Σάββα θεόσοφε, τὸν δι᾽ ὑπερβολὴν φωτοχυσίας ὄντα ἀπρόσιτον, ἰδεῖν καὶ γνῶ ναι κατηξιώθης, πάντων ἐξιστάμενος τῶν ὄντων, αἰσθητῶν καὶ νο ητῶν, καὶ σεαυτοῦ, καὶ ἐν μόνῳ τῷ Θεῷ ὤν, νηστείαν ἐτέλεσας οὐ τεσ σαρακονθήμερον μόνον, ἀλλὰ καὶ ἑξηκονταήμερον, οὐδόλως βρώσεως μετασχών· τὸ γὰρ θεῖον πῦρ ἐν καρδίᾳ σου δεξάμενος, πύρινος ὅλος γέ - γονας. Ὅθεν καὶ τὸ βαρὺ τοῦ σώ ματός σου πάχος, μετεχαλκεύθη τῷ θείῳ πυρί, πρὸς τὸ λεπτότερον καὶ θει ότερον. Ὢ τοῦ θαύματος! οἵων δωρεῶν ἀξιοῦται, ἡ χοϊκὴ βροτῶν φύσις, χάριτι Χριστοῦ, τοῦ σῴζον τος τὰς ψυχὰς ἡμῶν.

### *Καὶ νῦν. Θεοτοκίον.*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μή τηρ Θεοῦ τοῦ Ὑψίστου, σῶν οἰκετῶν πα ρακλήσεις δέχου πανάμωμε· ἡ πᾶσι χο - ρηγοῦσα καθαρισμὸν τῶν πταισμά των, νῦν τὰς ἡμῶν ἱκε σίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

### Νῦν ἀπολύεις, τὸ Τρισάγιον· Καὶ τὸ Ἀπολυτίκιον.

### *Ἦχος γ΄. Θείας πίστεως.*

Ἔργοις ἔλαμψας, τῆς εὐσεβείας, πᾶσαν ηὔγασας, τὴν οἰκουμένην, ὑψοποιῷ τῇ ταπεινώσει κο σμούμενος, Βατοπαιδίου Μονῆς σε μνολόγημα,

καὶ Ὄρους Ἄθω καλλονὴ καὶ ὡράϊσμα· Σάββα πάνσοφε, χαρίτων ἐνθέων ἔμπλησον, τοὺς πόθῳ σου τὴν μνήμην ἑορτάζοντας.

*Θεοτοκίον.*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

## Εἰς τὸν Ὄρθρον

**Μετὰ τὴν α´ Στιχολογίαν.**

**Κάθισμα.** *Ἦχος πλ.δ´. Τὴν σοφίαν καὶ Λόγον.*

Τῇ ἐνθέῳ μωρίᾳ θωρακισθείς, ἐκ τῆς ἄνω Σοφίας χάριν λαβών, δράκοντα ἐμώρανας, καὶ τὸν Ἄθω ἐφώτισας, τὸν θεῖον προμαχῶνα τῆς Ἁγνῆς Θεομήτορος, σοῖς θεοσόφοις ἔργοις καὶ λόγοις θεόπνευστε· ὅθεν καὶ τοὺς πόθῳ, τὸν σὸν βίον ὑμνοῦντας, καὶ μνήμην τὴν εὔσημον, ἐπαξίως τελοῦντάς σου, Σάββα μάκαρ ἀπάλλαξον, ἐχθροῦ τῶν σοφισμάτων σοφέ, καὶ ἀξίους τῆς χάριτος ποίησον, τῆς ἐνθέου σὺν σοὶ ἀξιάγαστε.

*Δόξα.* **Ἕτερον.** *Ὅμοιον.*

Ἰορδάνης ἐμφαίνει τὸ θαυμαστόν, καὶ περίδοξον ὕψος τῆς σῆς ζωῆς· τῷ κάλλει γὰρ ἔλαμψας, τῆς νηστείας πανόλβιε, ἡμέρας τεσσαράκοντα, καὶ ἑξήκοντα ἄσιτος, διατελέσας μάκαρ, θηρσὶν αὐλιζόμενος. Σὺ γὰρ τοῦ Σωτῆρος, μιμητὴς ἀνεδείχθης, φαιδρῶς δοξαζόμενος, πολιτείας λαμπρότητι, καὶ τῷ κόσμῳ φαινόμενος, ἔνθεος σοφὲ ἀριστεύς· σὲ τιμῶμεν ὅθεν ἱκετεύοντες, τὴν Μονήν σου δεινῶν ῥύου Ὅσιε.

*Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.*

Τὴν οὐράνιον πύλην καὶ κιβωτόν, τὸ πανάγιον ὄρος τὴν φωταυγῆ, νεφέλην ὑμνήσωμεν, τὴν οὐράνιον κλίμακα, τὸν λογικὸν παράδεισον, τῆς Εὔας τὴν λύτρωσιν, τῆς οἰκουμένης πάσης, τὸ μέγα κειμήλιον· ὅτι σωτηρία, ἐν αὐτῇ διεπράχθη, τῷ κόσμῳ καὶ ἄφεσις, τῶν ἀρχαίων ἐγκλημάτων, διὰ τοῦτο βοῶμεν αὐτῇ· πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς εὐσεβῶς προσκυνοῦσι, τὸν πανάγιον τόκον σου.

**Μετὰ τὴν β´ Στιχολογίαν.**

**Κάθισμα.** *Ἦχος δ´. Κατεπλάγη Ἰωσήφ.*

Κατεπλάγη ἐπὶ σοί, ἅπας χορὸς Ἀγγελικός· τὴν ἐν σαρκί σου βιοτήν, Πάτερ ὁρῶν τὴν θαυμαστήν· ὅτι ὡς ἄσαρκος ἔζης ἐν γῇ ἀΰλως· ἐκπλήττει δὲ σοφέ, καὶ πάντα βρότειον νοῦν, ἡ ἄκρα καὶ σκληρά σου ἐγκράτεια, δι᾽

ῆς Ἀγγέλοις μὲν ἴσος ἐγένου, τῶν δὲ ἀνθρώπων ὑπέρ τερος· ὅθεν σε πόθῳ, ἀνευφημοῦμεν, Σάββα πάντες ἐν ὕμνοις.

**Δόξα. Ἕτερον. Ὅμοιον.**

Μέγα ὄντως τὸ λαθεῖν, ἔργα τὸν δρῶντα ἀρετῆς· τοῦτο γὰρ ὑψο ποιεῖ, τὸν ἐργαζόμενον αὐτήν, κατὰ τὸ θεῖον ἔν ταλμα τοῦ Σωτῆρος· οὕτω γὰρ ποιῶν, Σάββας ὁ πάνσοφος, ἐγένετο μωρὸς διὰ τὸν Κύριον, καὶ εὐ φροσύνης ἐνέπλησε πάντας, ἐν τῇ ἀνοίξει τοῦ στόματος. Χριστῷ οὖν Πάτερ, ἀεὶ δυσώπει, σῶσαι τοὺς σοὺς ἱκέτας.

**Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον.**

Κατεπλάγη Ἰωσήφ, τὸ ὑπὲρ φύσιν θεωρῶν· καὶ ἐλάμβανεν ε ἰς νοῦν, τὸν ἐπὶ πόκον ὑετόν, ἐν τῇ ἀσπόρῳ συλλή ψει σου Θεοτόκε· βάτον ἐν πυρὶ ἀκατάφλεκτον, ῥάβδον Ἀαρὼν τὴν βλα στήσασαν, καὶ μαρτυρῶν ὁ μνήστωρ σου, καὶ φύλαξ, τοῖς Ἱερεῦσιν ἐκραύ γαζε· Παρθένος τίκτει, καὶ μετὰ τόκον, πάλιν μένει Παρθένος.

**Μετὰ τὸν Πολυέλεον.**

**Καθίσματα. Ἦχος γ΄. Τὴν ὡραιότητα.**

Τρίβον διώδευσας, ξένην καὶ ἄτριπτον· σὺ γὰρ ἑ ξήκοντα καὶ τεσσαράκοντα, ἡμέρας ἄσιτος σοφέ, διήνυσας ὑπὲρ φύσιν· ὅθεν καὶ ἀπεί ληφας, χαρισμάτων τὸ πέλαγος, Σάββα παμμακάριστε, καὶ ἐνδόξως δεδό ξασαι· διό σε εὐφημοῦντες βοῶμεν· Δόξα Χριστῷ τῷ στεφοδότῃ.

**Δόξα. Ἕτερον. Ὅμοιον.**

Ἅπαν τὸ φρόνημα, σαρκὸς ἐμάρανας, Σάββα μακάριε, ἀσκήσας ἄριστα, καὶ ἐν ζῶν ἐν σώματι φθαρτῷ, ἰσάγγελος ἀνεφάνης· ὄντως γὰρ ὁ βίος σου, πλήρης πέλει χρηστότητος, βρύων ἀγαλλίασιν, τοῖς πρὸς σὲ με τὰ πίστεως, προστρέχουσι καὶ πόθῳ καλοῦσι, Πάτερ ἀντίληψίν σου θεί αν.

**Καὶ νῦν. Θεοτοκίον.**

Τὴν ὡραιότητα, τῆς Παρθενίας σου, καὶ τὸ ὑπέρλαμπρον τὸ τῆς ἁγνείας σου, ὁ Γαβριὴλ καταπλαγείς, ἐβόα σοι Θεοτόκε· ποῖόν σοι ἐγ κώμιον, προσαγάγω ἐπάξιον; τί δὲ ὀνομάσω σε; ἀπο ρῶ καὶ ἐξίστα μαι· διὸ ὡς προσετάγην βοῶ σοι· χαῖρε ἡ Κεχαριτωμένη.

**Οἱ Ἀναβαθμοί. Τὸ Α΄. Ἀντίφωνον τοῦ δ΄. ἤχου.**

**Προκείμενον. Ἦχος δ΄.**

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ Ὁσίου αὐτοῦ.

**Στίχ.** *Τί ἀνταποδώσωμεν τῷ Κυρίῳ περὶ πάντων ὧν ἀνταπέδωκεν ἡμῖν.*

**Πᾶσα πνοή.**

**Τὸ Εὐαγγέλιον· Κατὰ Λουκᾶν·** *«Εἶπεν ὁ Κύριος, μὴ φοβοῦ, τὸ μικρὸν ποίμνιον, ὅτι εὐδόκησεν ὁ πατὴρ ὑμῶν δοῦναι ὑμῖν τὴν βασιλείαν...»*

**(Ὅρα τῷ Σαββάτῳ τῆς ια΄ Ἑβδομάδος Λουκᾶ).**

**Ὁ Ν΄. ψαλμός.**

***Δόξα.*** Ταῖς τοῦ σοῦ Ὁσίου.

***Καὶ νῦν.*** Ταῖς τῆς Θεοτόκου.

**Πεντηκοστάριον Ἰδιόμελον.**

*Ἦχος πλ. β΄.*

**Στίχ.** *Ἐλέησόν με ὁ Θεός....*

Ὁ τῆς ταπεινώσεως τύπος γενόμενος καὶ τὴν τῶν ὑπὲρ φύσιν θαυ μάτων, χάριν θεόθεν δεξάμενος, Σάββα πανσεβάσμιε, τὸ πάντων τῶν ἐν τῷ Ἄθῳ ἀκροθίνιον, καὶ τῆς ἰδίας Μονῆς ἔξοχον ἀγλάϊσμα, παῤ ῥησίαν ὡς ἔχων πρὸς Θε όν, ἐκτενῶς ἱκέτευε, ἐλεηθῆναι τὴν σὴν ποίμνην, τὴν εὐφημοῦσαν ἐκ πόθου, τὴν πανίερον μνήμην σου.

**Οἱ Κανόνες, τῆς Θεοτόκου μετὰ τῶν Εἱρ μῶν εἰς ς΄, καὶ τοῦ Ὁσίου Κανόνες εἰς η΄ (οἱ δύο ἀνὰ δ΄) .**

**Κανὼν τῆς Θεοτόκου, οὗ ἡ ἀκροστιχίς·**

Μῆτερ Λόγου Πάναγνε τοὺς ὕμνους δέχου.

**Ὠδὴ α΄.**

**Ἦχος δ΄. Ὁ Εἱρμός·**

***Θαλάσσης, τὸ ἐρυθραῖον πέλαγος, ἀβρόχοις ἴχνεσιν, ὁ παλαιὸς πε - ζεύσας Ἰσραήλ, σταυροτύποις Μωσέως χερσί, τοῦ Ἀμαλὴκ τὴν δύ ναμιν, ἐν τῇ ἐρή μῳ ἐτροπώσ ατο.*** ***(Δίς).***

Μαρίας, τῆς Θεοτόκου Σύλληψιν, πανηγυρίσωμεν, χαριστηρίοις ᾄσμασι πιστοί, τοῦ Ἀγγέλου κροτοῦντες φωνήν, χαρμονικῶς καὶ λέ γοντες· χαῖρε Θεὸν Σαρκὶ κυήσασα.

Ἡ πλάνη, τοῦ πονηροῦ κατήργηται, Παρθένε Ἄχραντε, καὶ κατε βλήθη τούτου ἡ ἰσχύς, σαρκωθέντος ἀσπόρως Χριστοῦ, ἐν τῇ σεπτῇ νηδύϊ σου· τέ - μενος χαῖρε ἁγιώτατον.

Τριάδος, ὑπερουσίου Πάναγνε, τὸν ἕνα τέτοκας, ἀνερμηνεύτως Λό γον καὶ Θεόν, δι᾽ Ἀγγέλου λαβοῦσα χαράν, τοῦ Γαβριὴλ κραυ γάζοντος· Χαῖρε σκηνὴ τοῦ σαρκωθέντος Θεοῦ.

Ἐδείχθης, τιμιωτέρα Πάνσεμνε, πάσης τῆς κτίσεως, τῶν Χερουβίμ τε καὶ τῶν Σεραφίμ, σαρκωθέντος ἐκ σοῦ τοῦ Θεοῦ· διό σοι χαῖρε κρά ζομεν, μελῳδικῶς ὡς ὁ Ἀρχάγγελος.

**Ὁ Πρῶτος Κανὼν τοῦ Ὁσίου.**

**Ὠδὴ α΄.**

*Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Τὸν ὕμνον προσάγει σοι, Σάββα θεόφρον πανόσιε, ἡ Μάνδρα σου σή- μερον, ἀγαλλομένη φαιδρῶς, ἣν περίσῳζε, φρουρόν σε κεκτημένην, προ - στάτην θερμότατον καὶ ἀντιλήπτορα.

Ἐν Ἄθῳ γενόμενος, τὸ Βατοπαίδιον ᾤκησας, ἐν ᾧ συνασκούμενος ψυχὴν ἐκάθηρας, καὶ τὸ σῶμά σου, ἁγνείᾳ καὶ δεήσει, καὶ πάντας ἐξέπληττες ζῶν ἐνθεώτατα.

Τοὺς σὲ καταστέφοντας, νῦν ἐγκωμίων τοῖς ᾄσμασιν, ἐν θρόνῳ τῆς χάριτος, παρεστηκὼς ἐφ᾿ ἡμᾶς, ταῖς πρεσβείαις σου, ἐπίβλεψον καὶ ῥῦσαι, παντοίων ἐκ θλίψεων, Σάββα Πατὴρ ἡμῶν.

***Θεοτοκίον.***

Κινδύνων ἐκσώσασα, θαλάσσης παῖδα τοῦ ἄνακτος, τὸν λάτρην σου Ἄχραντε, νῦν ἐν ἁγίων χοροῖς, ἐγκατέλεξας, Σάββαν τὸν θεοφόρον· ἡμᾶς δὲ ἀξίωσον, τούτῳ συνέσεσθαι.

**Ἕτερος Κανὼν τοῦ Ὁσίου, οὗ ἡ ἀκροστιχίς·**

Σάββαν τὸν κλεινόν, Βατοπαιδινὸν μέλπω.

**Ὠδὴ α´.**

**Ἦχος πλ.δ´. *Ἁρματηλάτην Φαραὼ ἐβύθισε.***

Σάλπιγγος πλέον πρὸ ἡμῶν ἐξήχησε, Σάββα τρισμάκαρ τὰ σά, θείως διαγράψας, ὁ κλεινὸς Φιλόθεος, παράδοξα παλαίσματα, τοὺς λαμπρούς σου ἀγῶνας, τὰ ἱερώτατα θαύματα, καὶ τὰ κατὰ δαίμονος τρόπαια.

Ἅπαντα στίφη μοναζόντων σήμερον, δεῦτε ὑμνήσωμεν, τὸν παμφαῆ λύχνον, τὸν καταφωτίσαντα, Ἄθω καὶ Βατοπαίδιον, τὸν πανεύφημον Σάββαν, ὃν ᾑρετίσατο Κύριος, δι᾿ αὐτοῦ ἡμᾶς ἐκδιδάσκεσθαι.

*Δόξα.*

Βατοπαιδίου ἡ Μονὴ νῦν σκίρτησον, τῇ πανηγύρει φαιδρῶς, Σάββα τοῦ βλαστοῦ σου, ἐκτελοῦσα σήμερον, μνήμην αὐτοῦ τὴν πάντιμον, εὐωχίαν διδοῦσαν, καὶ εὐφροσύνην οὐράνιον, πᾶσι τοῖς αὐτὴν ἑορτάζουσι.

*Καὶ νῦν.* ***Θεοτοκίον.***

Βάτος ἐτύπου τὸ φρικτὸν μυστήριον, τοῦ θείου τόκου σου, ἄφλεκτος τελοῦσα· καὶ γὰρ μόνη τέτοκας, Παρθένος καὶ μεμένηκας, ἐν τῷ τόκῳ Παρθένος, καὶ μετὰ τόκον, ὢ θαύματος, ἄχραντος Παρθένος πεφύλαξαι.

**Καταβασία.**

***Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τὰ θαύματα.***

**Ὠδὴ γ´.**

**Τῆς Θεοτόκου. Ὁ Εἱρμός.**

***Εὐφραίνεται ἐπὶ σοί, ἡ ἐκκλησία σου Χριστὲ κράζουσα· σύ μου ἰσχὺς Κύριε, καὶ καταφυγὴ καὶ στερέωμα.*** *(Δίς).*

Ῥυσθέντες προγονικῆς, ἀρᾶς Παρθένε διὰ σοῦ κράζομεν· χαῖρε χαρᾶς πρόξενος, καὶ παντὸς τοῦ κόσμου διάσωσμα.

Λαβίδα σε προειδών, ἀνθρακοφόρον Ἡσαΐας Ἄχραντε, πῦρ τὸ ἐν σοὶ ἐδήλωσε· χαῖρε Θεοῦ Λόγου λοχεύτρια.

Ὁ Ἄγγελος Γαβριήλ, ἐξ οὐρανοῦ σοι τὴν χαρὰν ἤνεγκε, σοῦ τῆς σε πτῆς Συλλήψεως· χαῖρε τοῦ Θεοῦ Μῆτερ Πάναγνε.

Γαστέρα τὴν σὴν Θεός, ἄνευ σπορᾶς σωματωθεὶς ἔδειξε, θείαν σκη νὴν Πάναγνε· χαῖρε τοῦ Θεοῦ θρόνε ἔμψυχε.

**Πρῶτος Κανὼν τοῦ Ὁσίου.** ***Τοὺς σοὺς ὑμνολόγους.***

Ὁ ἔνθεος βίος σου ὢν πλήρης, θαυμάτων λαμπρῶν καὶ ἀρετῶν, Σάβ βα δεικνύει ἅπασι, τῆς χάριτος τεκμήριον, δι᾽ ἧς θεόφρον γέγονας, σεπτὸν δοχεῖον τοῦ Πνεύματος.

Ψαλμοῖς παννυχίοις σου γεραίρει, τὴν μνήμην ὁμοῦ καὶ ἑορτήν, Σάββα θεόφρον Ὅσιε, Μονή σου Βατοπαίδιον, ἣν ἔτι ζῶν ἐτίμησας, θανὼν δὲ αὖ εὐηργέτησας.

Τὸν ἔνθεον βίον σου ὦ Σάββα, ὁ Ὕψιστος ἔδειξεν ἡμῖν, ἀσκή σεως ὑπόδειγμα, καὶ τύπον ταπεινώσεως· τοῦ Πνεύματος γὰρ γέγονας, θεόφρον κατοικητήριον.

***Θεοτοκίον.***

Ἡ μόνη τὸν Ἅγιον τεκοῦσα, καὶ μόνον παντὸς ἁγιαστήν, ἁγιασμόν σου δὸς ἡμῖν, οἰκοῦσιν ἐν τῷ Ὄρει σου, Χριστοῦ λαόν τ᾽ εὐλόγησον, καὶ σοῦ τὴν Ποίμνην διάσωσον.

**Ἄλλος. Τοῦ Ὁσίου.** *Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Ἀπογυμνώσας σεαυτόν, παντοίων σοφὲ γηΐνων, ἀνεκτήσω τὸν οὐράνιον ὄλβον· τὴν ζωήν σου γὰρ πασῶν, τῶν ἀρετῶν ἐνέπλησας, κα λῶν ἀπὸ παντοίων, Σάββα πλουτῶν τοὺς ὑμνοῦντάς σε.

Νῶτα οὐ δέδωκας ἐχθρῷ, ἐν τῷ παλαίειν σε Σάββα, ἀλλ᾽ ὡράθης εὐ θυβόλος ῥομφαία, καὶ ὀργίλον τὴν αὐ τοῦ καὶ βέβηλον κατέτρωσας, καρ δίαν καὶ ἀνδρείως, τοῦτον ποσί σου κατέῤῥαξας.

*Δόξα.*

Τὸ τῆς σαρκὸς πολυπαθές, σὺ φρόνημα θανατώσας, ἐνεδύθης ζωη φόρον χιτῶνα, τῆς νεκρώσεως· διό, χωρητικὸν γεγένησαι, καὶ καθαρὸν δο χεῖον, τῶν χαρισμάτων τοῦ Πνεύματος.

*Καὶ νῦν.* ***Θεοτοκίον.***

Ὀπίσω χαίρων τοῦ Χριστοῦ, ἐξηκολούθησας Σάββα, ἐπὶ ὤμων τὸν σταυρόν σου βαστάσας· τῇ δυνάμει δὲ αὐτοῦ, καὶ Θεοτόκου χάριτι, πρὸς ἀπαθείας ὕψος, ἔφθασας κτείνας τὸν δράκοντα.

**Καταβασία.**

***Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέωσον· καὶ ἐν τῇ θείᾳ δόξῃ σου, στεφάνων δόξης ἀξίωσον.***

### Ἀπὸ γ΄ Ὠδῆς.
### Κάθισμα.
### *Ἦχος πλ.δ΄. Τὴν σοφίαν καὶ Λόγον.*

Μονασταὶ οἱ τοῦ Ὄρους πάντες ὁμοῦ, ἀθροισθέντες τιμήσωμεν ἱε ρῶς, Σάββαν τὸν θαυμάσιον, καὶ οὐράνιον ἄνθρωπον, ὡς πατρὶ τὰ τέ κνα αὐτῷ προσφθεγγόμενοι, πόθῳ τῇ πρεσβείᾳ αὐτοῦ καταφεύγοντες· Πά τερ ὡς ἐφάνης τῷ σῷ βίῳ ἀλείπτης, ἡμῶν πρὸς τὴν ἄσκησιν, οὕτω πά λιν πρὸς Κύριον, μεταστὰς ἡμῶν μνήσθητι, ὅπως ταῖς θερμαῖς σου λι ταῖς, διαβῶμεν βίου τὸ κλυδώνιον, καὶ σὺν σοὶ αὐλισθῶμεν, ἔνθα φῶς τὸ ἀνέσπερον.

### *Δόξα.* Ἕτερον.
### *Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ἡ σεπτὴ καὶ εὔσημος, θεία σου μνήμη, ἑορτῆς ὑπόθεσις, τῇ σε βασμίᾳ σου Μονῇ, γέγονε Σάββα πανόσιε, ἣν ἐκτελοῦντες, σὲ πρέσβυν προ βάλλομεν.

### *Καὶ νῦν.* Θεοτοκίον. *Ὅμοιον.*

Ἐπελεύσει Πνεύματος τοῦ Παναγίου, τοῦ Πατρὸς τὸν σύνθρονον, καὶ συναΐδιον φωνῇ, Ἁγνὴ Ἀγγέλου συνέλαβες, Παρθενομῆτορ, βροτῶν ἡ ἀνάκλησις.

### Ὠδὴ δ΄.
### Τῆς Θεοτόκου. Ὁ Εἱρμός.

***Ἐπαρθέντα σε ἰδοῦσα ἡ Ἐκκλησία, ἐπὶ Σταυροῦ τὸν Ἥλιον τῆς δικαιοσύνης, ἔστη ἐν τῇ τάξει αὐτῆς, εἰκότως κραυγάζουσα· Δόξα τῇ δυνάμει σου Κύριε.*** ***(Δίς).***

Ὁ τὸν ἄνθρωπον ἰδίᾳ εἰκόνι πλάσας, Δημιουργός τε σύμπαντος κτιστοῦ Θεοτόκε, σάρκα προσλαμβάνει ἐκ σοῦ, βροτῶν εἰς ἀνάκτησιν. Χαῖρε τοῦ Θεοῦ ἐνδιαίτημα.

Ὑπερτέραν σε ἀνέδειξε τῶν κτισμάτων, ὁ Ποιητὴς καὶ Κύριος καὶ τιμιωτέραν, πάντων τῶν Ἀγγέλων Ἁγνή, σκηνώσας ἐν μήτρᾳ σου. Χαῖ ρε τοῦ Θεοῦ θεῖον ὄχημα.

Προορῶν σε ὁ Προφήτης Παρθενομῆτορ, συμβολικῶς ὠνόμασε, πύ λην κεκλεισμένην, ἐξ ἧς μόνος ὁ πάντων Θεός, ἀῤῥήτως διώδευσε . Χαῖρε θεῖον ὄντως παλάτιον.

Ἀνερμήνευτον τὸ θαῦμα τῆς σῆς Παρθένε, ὑπερφυοῦς Συλλήψεως, πᾶσαν ὑπερβαῖνον, ἔννοιαν ἀνθρώπων· διό, ὑμνοῦντες κραυγάζομεν· Χαῖρε θεῖον ἔμψυχον τέμενος.

### Πρῶτος Κανὼν τοῦ Ὁσίου. *Τὴν ἀνεξιχνίαστον θείαν βουλήν.*

Ἄφεσιν πταισμάτων, λύσιν παθῶν, Σάββα χορηγεῖς τοῖς προστρέ χουσι, σοῦ τῇ πρεσβείᾳ, καὶ καθαίρεις μολυσμούς, σαρκὸς ὁμοῦ καὶ πνεύ ματος· ὅθεν σου τὴν μνήμην γεραίρομεν.

Χαῖρε Βατοπαίδιον θεία Μονή, ἐπὶ τῷ ἁγίῳ βλαστήματι, σοῦ γὰρ ἐξέφυ, καὶ πρὸς ὕμνον συγκαλεῖ, Σάββας ἡμᾶς ὁ πάνσοφος, μέλψαι τούτου μνήμην τὴν πάντιμον.

Σοῦ τὴν πανευφρόσυνον νῦν ἑορτήν, καὶ φαιδρὰν ὦ Σάββα πανήγυριν, ἐπιτελοῦσα, ἡ Μονή σου ὡς φρουρόν, σὲ προσκαλεῖται κράζουσα· Δόξα τῷ σεπτῶς σε δοξάσαντι.

*Θεοτοκίον.*

Σύ μου ἀποκάθαρον ῥύπον ψυχῆς, ὕλην τῶν παθῶν μου κατάφλεξον, ἄνθρακος θείου, ὡς πυράγρα λογική, ἵνα πυρὶ ἀΰλῳ σε, ἀνυμνολογῶ τὴν πανύμνητον.

**Ἄλλος. Τοῦ Ὁσίου.** *Σύ μου ἰσχὺς Κύριε.*

Νοῦς τῷ Νοΐ, ἐνατενίζων γενόμενος, ἐλαμπρύνθης φωτισμῷ τοῦ Πνεύματος, καὶ τούτου χάριτι ὁπλισθείς, Ὅσιε μετέβης, ἐπὶ τὸ Ὄρος τοῦ Ἄθωνος, ἰσάγγελον τὸν βίον, καθαρῶς ἐκτελέσας, καὶ πανσόφως Θεῷ εὐηρέστησας.

Καταφυγή, τοῖς λαγωοῖς πέτρα πέφυκεν, ἐκφυγοῦσι κόσμου τῆς συγχύσεως· ὧν εἷς αὐτός, ὤφθης νοητῶς, ἐν γὰρ ἐρημίαις, τὸν βίον Σάββα διήνυσας, προβαίνων ἀνενδότως, ἀπὸ δόξης εἰς δόξαν, ἐκ δυνάμεως Πάτερ εἰς δύναμιν.

*Δόξα.*

Λίθου παντός, τὸν νοῦν ὑπάρχων στεῤῥότερος, Πάτερ Σάββα, γενναίως ὑπέμεινας, τοὺς ῥαβδισμοὺς ἐκ τῶν Ἰταλῶν, ἔχων δυναμοῦντα, Χριστὸν ἐν σοὶ καὶ ῥωννύοντα, πρὸς ὃν καὶ ἀνεβόας, νοερῶς ἀτενίζων, τῇ δυνάμει σου δόξα Φιλάνθρωπε.

*Καὶ νῦν.* ***Θεοτοκίον.***

Ὅλη ἐν σοί, ἡνώθη ἡ Ὑπεράρχιος, φύσις Κόρη, ἐν μιᾷ τελείᾳ τε, τῇ ὑποστάσει τῇ ἑαυτῆς, Λόγῳ τῷ ἀνάρχῳ, ὃν ἐν σαρκὶ ἀπεκύησας, ἐν δύω ταῖς οὐσίαις, τὸν αὐτὸν Υἱὸν ἕνα, ἐν θεότητι καὶ ἀνθρωπότητι.

**Καταβασία.**

***Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ προφήτης Ἀββακούμ, κατανοῶν ἐκραύγαζε· δόξα τῇ δυνάμει σου Κύριε.***

**Ὠδὴ ε΄.**

**Τῆς Θεοτόκου. Ὁ Εἱρμός.**

***Σὺ Κύριέ μου φῶς, εἰς τὸν Κόσμον ἐλήλυθας, φῶς ἅγιον ἐπιστρέφον, ἐκ ζοφώδους ἀγνοίας, τοὺς πίστει ἀνυμνοῦντάς σε.*** *(Δίς).*

Νεφέλην σε φωτός, καὶ λυχνίαν γινώσκομεν, βαστάζουσαν Θεομῆτορ, τὸ ἀπρόσιτον φέγγος. Χαῖρε Νύμφη ἀνύμφευτε.

Αἰνέσωμεν πιστοί, καὶ λαμπρῶς εὐφημήσωμεν, τὴν Σύλληψιν τῆς Παρθένου, καὶ Μητρὸς τοῦ Κυρίου, πιστῶς τὸ Χαῖρε ᾄδοντες.

Γεννήτορες Μητρός, τοῦ Θεοῦ νῦν εὐφραίνεσθε, Συλλήψει τῇ ἀν εκφράστῳ, θυγατρὸς Βασιλέως, βοῶντες· Χαῖρε Δέσποινα.

Ναόν σε τοῦ Θεοῦ, καὶ Σκηνὴν ὀνομάζομεν, χωρήσασαν τὸν Δε σπότην, καὶ Θεὸν Θεομῆτορ· πιστ ῶν χαῖρε τὸ καύχημα.

**Πρῶτος Κανὼν τοῦ Ὁσίου.**

*Ἐξέστη τὰ σύμπαντα.*

Ὁ Σάββας ὁ πάνσοφος, Μονῆς ἡμῶν τὸ βλάστημα, πάντας συγκα λεῖ τοὺς φιλεόρτους, πανηγυρίσαι, τὴν θείαν μνήμην αὐτοῦ, χάριτος τοὺς πάν - τας ἐμπιπλῶν· δεῦτε οὖν τρυφήσωμεν, πατρικῆς διαδόσεως.

Τὸ Ὄρος τὸ Ἅγιον, ἐν ᾧ Θεὸς δοξάζεται, χαίροις σὺν Μονῇ Βα τοπαιδίου, ἐπὶ τῇ μνήμῃ Σάββα τοῦ μάκαρος, ὃς ξένως τὸν βίον διελθών, ἐν σοὶ πάλιν ἔλαμψεν, ὥσπερ ἥλιος πάμφωτος.

Ὑψόθεν ἐπίβλεψον, ἡμᾶς τοὺς σὲ γεραίροντας, Σάββα καὶ ἐκ πόθου ἐκτελοῦντας, σὴν θε ίαν μνήμην, τὴν πανευφρόσυνον, καὶ τὸν τῶν πται - σμάτων ἱλασμόν, αἴτησαι πανόσιε, ταῖς θερμαῖς σου δεήσεσιν.

***Θεοτοκίον.***

Ἡ σύλληψις ἄσπορος, ἡ γέννησις ἀλόχευτος, ἡ κυοφορία ἀνωτέρα, πό - νου καὶ βάρους γέγονε Πάναγνε· ὢ τῶν τεραστίων τῶν καινῶν! ποῖ ος νοῦς Ἀγγέλων τε, καὶ βροτῶν οὐκ ἐξίσταται.

**Ἄλλος. Τοῦ Ὁσίου.** *Ἵνα τί με ἀπώσω.*

Ἵνα τί βοᾷς πρός με, ἔφη ὁ Νυμφίος σου Σάββα πανόσιε, ὅτε ἐν σπη - λαίῳ, σοὶ ὁ δράκων ἐφείρπυσε παίων σε, ἡ περιστερά μου, πτερὰ εὐχῆς κε - χρυσωμένα, προσλαβοῦσα ἐγγύς μου πετάσθητι.

Νῦν τιμᾷ κατὰ χρέος, Θεσσαλονικέων Πατρίς σου ἡ ἔνδοξος, καὶ ἡ Κωνσταντίνου, ἐν αὐτῇ γὰρ ὁσίως κεκοίμησαι, καὶ Βατοπαιδίου, ἡ Ἱε ρὰ Μονή σου Σάββα, σὲ προστάτην πλουτοῦσα καὶ ἔφορον.

*Δόξα.*

Ὁρῶν νοῦς ὤφθης Σάββα, τὸν ταῖς ἐπιλάμψεσι ψυχὰς αὐγάζοντα, καὶ σπηλαίοις μόνος, ἀπαθείᾳ ηὐλίσθης γενόμενος, ὀπαδὸς Προ δρόμου, Θεοδοσίου τε νηστείας, φοιτητὴς μιμητής τε μακάριε.

*Καὶ νῦν.* ***Θεοτοκίον.***

Νῦν σε ἔχοντες Κόρη, ἄγρυπνον προστάτιν σὺν τῷ Σάββᾳ Δέ σποινα, οἱ τὸ Ὄρος τοῦτο, ἐνοικοῦντες φρουρόν τε καὶ πρύτανιν, φάλαγγας δαιμόνων, ἀνδρειοφρόνως ἀπωθοῦμεν· εὐχαρίστως διό σε δοξά ζομεν.

**Καταβασία.**

*Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, τὴν εἰρήνην βραβεύοντα.*

**Ὠδὴ ϛ΄.**

**Τῆς Θεοτόκου. Ὁ Εἱρμός.**

*Θύσω σοι, μετὰ φωνῆς αἰνέσεως Κύριε, ἡ Ἐκκλησία βοᾷ σοι, ἐκ δαιμόνων λύθρου κεκαθαρμένη, τῷ δι᾽ οἶκτον, ἐκ τῆς πλευρᾶς σου ῥεύσαντι αἵματι. (Δίς).*

Ἔλυσας, προγονικὴν κατάραν Πανάμωμε, χαροποιοῦσα τὴν κτίσιν, τῇ σεπτῇ Συλλήψει σου· ὅθεν πάντες, τοῦ Ἀγγέλου, χαρμονικῶς τὸ Χαῖρέ σοι κράζομεν.

Τέτρωται, ὁ ἀπατήσας πάλαι Πανάμωμε, Εὔαν ἀρχέκακος ὄφις, τῇ τοῦ ξύλου βρώσει θανατηφόρῳ, σοῦ τὸ ξύλον, τῆς ζωῆς τεκούσης. Χαῖρε Θεόνυμφε.

Ὁ Λόγος, ὁ τοῦ Πατρὸς ὑπάρχων ἀχώριστος, Δημιουργός τῶν κτισμάτων, ἐν τῇ σῇ σαρκοῦται γαστρὶ Παρθένε, ἀναπλάσαι, τὸν κόσμον θέλων. Χαῖρε ἀμόλυντε.

Ὑπάρχων, ὁ τοῦ Πατρὸς Υἱὸς ὁμοούσιος, πρὸ τῶν αἰώνων ἀμήτωρ, ἐκ τῆς σῆς ἐτέχθη γαστρὸς ἀπάτωρ, ἐπ᾽ ἐσχάτων, Παρθένε. Χαῖρε βροτῶν ἡ ἀνάκλησις.

**Πρῶτος Κανὼν τοῦ Ὁσίου.**

*Τὴν θείαν ταύτην καὶ πάντιμον.*

Φιάλαι ὄντως ἀρώματος, αἱ θεῖαι σιαγόνες σου ὤφθησαν, προφητικώτατα, καὶ ἀκοὰς καὶ νοήματα, τῶν σοὶ προσπεφευγότων, Σάββα μυρίζουσαι.

Ἁγίου Πνεύματος γέγονας, τερπνὸν κατοικητήριον Ὅσιε, ψυχῇ καὶ σώματι, καὶ μαρτυρεῖ τὸ λεγόμενον, τὰ τοῦ σοῦ βίου ἆθλα καὶ κατορθώματα.

Χαρίτων πέλων ἀνάπλεως, ποικίλων συμφορῶν ἐλευθέρωσον, Σάββα Πατὴρ ἡμῶν, τὴν σὴν Μονὴν ἐν ᾗ ἤσκησας, τὴν σὴν ἐπιτελοῦσαν μνήμην τὴν πάντιμον.

*Θεοτοκίον.*

Χαῖρε λαβὶς θείου ἄνθρακος, χαῖρε θυμιατήριον εὔοσμον, χαῖρε ὀσφράδιον, χαῖρε θυμίαμα σύνθετον, χαῖρε τοῦ οὐρανίου, μύρου ἀλάβαστρον.

**Ἄλλος. Τοῦ Ὁσίου.**

*Ἱλάσθητί μοι Σωτήρ.*

Βατοπαιδίου Μονή, ἀγάλλου σκίρτα καὶ χόρευε, ἐν τέκνοις τὸν θαυμαστόν, ἐν πᾶσι κατέχουσα, Σάββαν· τὸν θεόσοφον, οὗτινος ὁ βίος, τοῖς Ἀγγέλοις ἐξωμοίωται.

Ἀνέπτης πρὸς οὐρανόν, πυρίνῳ ὡς ἐν ὀχήματι, τεθρίππῳ τῶν ἀρε τῶν, Χριστῷ παριστάμενος, καὶ ἡμῖν κατέλιπες, ὡς κληρονομίαν, τῶν καμάτων σου τὰ δράγματα.

Τὰς κοσμικὰς ἡδονάς, ἐκ βρέφους Σάββα ἐμίσησας· ὑπακοὴν ἀλη θῆ, ἁγνείαν καὶ ἄσκησιν, ποθήσας ἐβίωσας, ὡς ἄσαρκος Πάτερ, καὶ θαυμάτων χάριν εἴληφας.

*Δόξα.*

Ὁ πόθος ὁ πρὸς Θεόν, καὶ ἔρως ὁ ἐκ καρδίας σου, καὶ ἡ θερμή σου στοργή, ὅλον ἀνεπτέρωσε, φαιδρὸν ἐκτελέσ ας σε, Σάββα θεοφόρε, παλαιοῦ Σάββα συνόμιλε.

*Καὶ νῦν.* ***Θεοτοκίον.***

Παράδεισε λογικέ, ναὲ Θεοῦ, πόλις ἔμψυχε, χαῖρε πηγὴ τῆς ζωῆς, ἐξ ἧς ἡμῖν ἔλαμψεν, ὁ ζωαρχικώτατος Ἰησοῦς ἡ πάντων, ἀγαλλίασις καὶ λύτρωσις.

## Καταβασία.

***Τὴν θείαν ταύτην καὶ πάντιμον, τε λοῦντες ἑορτὴν οἱ θεόφρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, τὸν ἐξ αὐτῆς τεχθέντα Θε όν δοξάζοντες.***

## Κοντάκιον.

***Ἦχος πλ.δ΄. Τῇ Ὑπερμάχῳ στρατηγῷ.***

Ὡς τῶν Ὁσίων τῶν ἐν Ἄθῳ σε ἀκραίμονα, Βατοπαιδίου τε Μονῆς φρουρὸν καὶ πρόμαχον, θείοις ᾄσμασι γεραίρομεν εὐφημοῦντες· δὸς οὖν Πάτερ καὶ ἡμῖν τὴν σὴν ἀντίληψιν, ὑπὲρ πάντων ἐξαιτούμενος τὸν Κύριον, τῶν βοώντων σοι· **Χαίροις, Σάββα Πατὴρ ἡμῶν.**

## Ὁ Οἶκος.

Ἄγγελόν σε ὁρῶντες, ἐν σαρκὶ Σάββα Πάτερ κατ᾿ οὐδὲν ἢ βραχύ τι παρ᾿ Ἀγγέλους ἠλαττωμένον, ἐκ πληττόμεθα μὲν τὸ ὑπερφυὲς τῶν ἀγώ νων σου, θάμβει δὲ πολλῷ συνεχόμενοι κραυγάζομεν πρὸς σὲ τοι αῦτα·

Χαίροις, πασῶν ἀρετῶν ταμεῖον,
χαίροις, φωτὸς θεϊκὸν δοχεῖον.
Χαίροις, ἡσυχίας νομίμου διδάσκαλος,
χαίροις, ἐγκρατείας κανὼν ὁ εὐθύτατος.
Χαίροις, ἔσοπτρον ἐμφάσεων καθαρῶν χωρητικόν,
χαίροις, ἄξιον θησαύρισμα τῶν Χριστοῦ μακαρισμῶν .
Χαίροις, πάνσοφε διδάσκαλε τῶν διὰ Χριστὸν μωρῶν ,
χαίροις, ἄνθρωπε οὐράνιε, καὶ ἀλείπτα μοναστῶν .
Χαίροις, ὅτι σοῦ ἡ ἄσκησις ὑπερβαίνει πάντα νοῦν,
χαίροις, ὅτι πόνοις σώματος ἀπελέπτυνας τὸν χοῦν.

Χαίροις, κανὼν ὑπερβαίνων τὴν φύσιν,
χαίροις, κακῶν χαριζόμενος λύσιν.

**Χαίροις, Σάββα Πατὴρ ἡμῶν.**

**Τὸ Συναξάριον, τῆς ἡμέρας.**

Τῇ ΙΕ΄ τοῦ αὐτοῦ μηνὸς **(Ἰουνίου)** μνήμη τοῦ Ἁγίου Προφήτου Ἀμώς.

**Στίχοι.**

Ἀμώς, ὁ συκάμινα κνίζων αἰπόλος,
Ἐδὲμ τρυγᾷ τὰ δένδρα κνίζων οὐκέτι.
Πέμπτῃ ἐκ βιότοιο Ἀμὼς δεκάτῃ τε ἀπέπτη.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ἅγιος Μάρτυς Δουλᾶς, ξίφει τε λειοῦται.

**Στίχοι.**

Δουλᾶς, ξοάνοις δουλικὸν μὴ δοὺς σέβας,
Ἤνεγκε σαρκὸς ὡς Θεοῦ δοῦλος ξέσεις.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ἅγιος Ἀπόστολος Φουρτουνάτος ξίφει τελειοῦται.

**Στίχοι.**

Φουρτουνάτος καύχημα τοῖς Ἀποστόλοις,
Καὶ τοῖς ἀθληταῖς τὴν κάραν τετμημένος.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ἅγιος Ἀπόστολος Ἀχαϊκὸς λιμῷ καὶ δίψει τε λειοῦται.

**Στίχοι.**

Λιμὸν λύει σοι καὶ τὸ δῖψος παμμάκαρ,
Ὃς εἶπε· Διψῶ, Δεσπότης ἐπὶ ξύλου.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ἅγιος Ἀπόστολος Στεφανᾶς ἐν εἰρήνῃ τελει οῦται.

**Στίχοι.**

Ἔργῳ στεφανᾶν τὸν Στεφανᾶν μοι νόει,
Φοροῦντα τὸν στέφανον, οὗ βραβεὺς πόνοι.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ὅσιος Ὀρτίσιος ἐν εἰρήνῃ τελειοῦται.

**Στίχοι.**

Ἄμωμος Ὀρτίσιος ἥκει σοι Λόγε,
Οὗ μῶμον εἰπεῖν, οὐδ᾽ ὁ μῶμος ἰσχύσει.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ὅσιος Ἱερώνυμος ὁ Ρωμαῖος ἐν εἰρήνῃ τελειοῦται.

**Στίχοι.**

Ἱερώνυμον τὸν μέγαν τεθνηκότα,
Μέγας μένει στέφανος, οὐκ ἀπεικότως.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Αὐγουστίνου Ἐπισκόπου Ἱππῶνος.

**Στίχοι.**

Ἔρωτι φλεχθεὶς τοῦ Θεοῦ Αὐγουστῖνε,
Φωστὴρ ἐδείχθης παμφαέστατος μάκαρ.

Τῇ αὐτῇ ἡμέρᾳ ἡ Ἁγία Μάρτυς Γραῦς ξίφει τελειοῦται.

**Στίχοι.**

Θύεις θεοῖς Γραῦς; ἢ ταθῇ σοι τὸ ξίφος;
Χαίρω, ταθήτω· τοῖς θεοῖς γὰρ οὐ θύω.

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου Μάρτυρος Νερσῆ.

**Στίχοι.**

Νερσῆς ἀπῆλθε διὰ τοῦ μαρτυρίου,
Ὅπου ἀθλητῶν αἱ χορεῖαι ἐν πόλῳ.

Τῇ αὐτῇ ἡμέρᾳ ἡ σύναξις τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, πέραν ἐν τοῖς Μαρανακίου.

**Στίχοι.**

Ὕμνον σοι θεῖον ἐν τοῖς Μαρανακίου,
ᾌδομεν πιστοὶ χρεωστικῶς σοι, Κόρη.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ ἅγιος Μεγαλομάρτυς Λάζαρος, «Κνέζης Σερβίας καὶ Βασιλεὺς Γραικίας», σφαγιασθεὶς ὑπὸ τῶν Τούρκων τελειοῦται.

**Στίχοι.**

Λάζαρος Κνέζης, σφαγιασθείς, σοὶ παρέστη Χριστέ μου,
Φανεὶς σοῦ φίλος, ἀληθινός, οὐ κατ᾽ ὄνομα μόνον.

Ὁ ἅγιος οὗτος ἐβασίλευσεν ἐν Σερβίᾳ κατὰ τὴν περίοδον (1346), ὅτε ἡ Σερβία εἶχεν ἀποσχισθῇ ἐκ τοῦ Οἰκουμενικοῦ Πατριαρχείου (ὅτε ἡ ἐν Σερβίᾳ ἐπίσκοποι αὐθαιρέτως ἀνεκήρυξαν Πατριάρχην τὸν Ἀρχιεπίσκοπον αὐτῶν)· αὐτὸς δὲ ὁ ἅγιος μετὰ πολλῶν μόχθων ἐπέτυχεν καὶ πάλιν τὴν συνδιαλλαγὴν τῶν δύο μερῶν. Ἐσχετίζετο μετὰ Ἡσυχαστῶν μοναχῶν καὶ ὁ ἴδιος ἠγάπα καὶ ἐνεστερνίζετο τὴν μοναχικὴν καὶ ἡσυχαστικὴν διδασκαλίαν. Ἐφρόντισε πρὸς ἀνέγερσιν καὶ διακόσμησιν γινόμενος Κτίτωρ μοναστηρίων καὶ ἐν Σερβίᾳ ἀλλὰ καὶ ἐν Ἁγίῳ Ὄρει. Ἔτρεφε πάντοτε ἀγαθὰς διαθέσεις καὶ πολλὴν ἀγάπην πρός τε τὸν Γραικικὸν λαόν, καὶ τὸν Ἀθωνικὸν Μοναχισμόν, ὑφ᾽ ὧν αἰσθημάτων κινούμενος «ἀφιέρωσεν ἕνα βασιλικὸν Σταυρόν, ἐν ᾧ ἦν ἡ πανάφθορος Ζώνη τῆς Κυρίας Θεοτόκου καὶ μέγα τεμάχιον Τιμίου Ξύλου, τῇ ἐν Ἁγίῳ Ὄρει Ἱερᾷ Μεγίστῃ Μονῇ Βατοπαιδίου. Ἦτο δὲ τοῦ σταυροῦ τὸ μὲν μῆκος δάκτυλοι ἑπτά, τὸ δὲ πλάτος δάκτυλοι δύω· ὅστις σῴζεται ἐν τῇ ἀνωτέρω μονῇ μέχρι τῆς σήμερον. Ὄπισθεν δὲ τοῦ σταυροῦ εὑρίσκονται γεγραμμένα γράμματα διὰ Σερβικῶν χαρακτήρων, ἅπερ μεθερμηνευθέντα εἰς τὴν καθ᾽ ἡμᾶς γραικικὴν διάλεκτον, λέγουσι ταῦτα· "Λάζαρος ἐν Χριστῷ τῷ Θεῷ Κνέζης Σερβίας καὶ βασιλεὺς Γραικίας, ἀνατίθημι τὸ κραταιὸν ὅπλον σὺν τῇ ἀχράντῳ Ζώνῃ τῆς Παναγίας μου, τῇ Μονῇ Βατοπαιδίου τῆς Βασιλείας μου"» (Συναξαριστὴς ἁγίου Νικοδήμου Ἁγιορείτου). Ἐτελεύτησεν ἐν ἔτει ͵ατπθ´ (1389), σφαγιασθεὶς ὑπὸ τῶν Τούρκων κατὰ τὸν πόλεμον, ὁ ὁποῖος διεξήχθη, ὅταν αὐτοὶ ἐπεχείρησαν μετὰ βίας

νὰ ἐξισλαμίσουν τοὺς Σέρβους. Πρὸ τούτου ἔλαβεν πληροφορίαν ἐκ Θεοῦ ὅτι εἰς ἐν λόγῳ πόλεμον μέλλει νὰ θανατωθῇ, ἀλλ᾽ αὐτὸς προκρίνων τῆς προσκαίρου τῆς οὐράνιον Βασιλείαν οὐδόλως ἐδειλίασεν.

**Καὶ τέλος τὸ παρόν.**

Τῇ αὐτῇ ἡμέρᾳ μνήμην ἐπιτελοῦμεν τοῦ Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Σάββα τοῦ Βατοπαιδινοῦ, τοῦ διὰ Χριστὸν Σαλοῦ.

**Στίχοι.**

Φάνας ὁ Σάββας ἀσκήσει οἰκουμένην,
Ἔφανεν αὖθις καὶ Ἄθω τεραστίοις.
Λάμψεν ἤματι δεκάτῳ πέμπτῳ Σαββάϊος αἴγλη.

Εἰς τὰ τέλη τοῦ 13ου αἰῶνος (1280) συναντῶμεν εἰς τὴν Ἱερὰν Μεγίστην Μονὴν Βατοπαιδίου Ἁγίου Ὄρους τὸν Ὁσιώτατον πατέρα ἡμῶν Σάββαν μετὰ τοῦ ὡσαύτως Ὁσιωτάτου γέροντός του. Ὁ ἁγιώτατος οὗτος πατὴρ ἡμῶν Σάββας κατήγετο ἐκ περιφανοῦς οἰκογενείας τῆς Θεσσαλονίκης. Ὡς πρῶτον του ἀσκητικὸν στάδιον θεωρεῖται τὸ Βατοπαιδινὸν κελλίον τῶν Καρεῶν, ὅπου διέμεινεν ἐπὶ διάστημα ἑπτὰ ἐτῶν ὑποτασσόμενος εἰς τὸν «πρεσβύτατον τῇ ἀρετῇ καὶ ἀνένδοτον ἐν τοῖς ἀσκητικοῖς ἀγῶσι» πνευματικὸν αὐτοῦ πατέρα. Ὕστερον ὅμως ἕνεκα ἐπιδρομῆς τῶν Καταλανῶν, καὶ κατόπιν ἄνωθεν πληροφορίας, ἀνεχώρησεν διὰ Ἱεροσόλυμα. Διαπερνῶν διαφόρους τόπους καὶ πόλεις μένει ἱκανὸν καιρὸν ἐν Κύπρῳ, ἐν Παλαιστίνῃ, ἐν Λήμνῳ καὶ ἐν Κρήτῃ· εἶτα ἐπεσκέφθη ἄλλα μέρη τῆς Ἑλλάδος καὶ τὴν Βασιλεύουσαν. Εἰς ὅλα ταῦτα τὰ μέρη παρέμεινεν ἐν συνόλῳ περὶ τὰ εἰκοσιπέντε ἔτη. Κατὰ ταῦτα ἐπεδόθη εἰς τοιαύτην αὐστηροτάτην ἄσκησιν, ὥστε νὰ ἁμιλλᾶται τοὺς μεγάλους ἀσκητὰς τοῦ 4ου καὶ 5ου αἰῶνος. Ἐν τοῖς ὑπερφυέσιν αὐτοῦ κατορθώμασι περιγράφονται ἐν τῷ βίῳ αὐτοῦ· ἡ τελεία σιωπὴ καθ᾽ ὅλον τὸ διάστημα τῆς ἐκ τοῦ Ἄθωνος ἀπουσίας αὐτοῦ, ἡ διὰ Χριστὸν σαλότης καὶ ἡ σχεδὸν γυμνότης τῆς περιβολῆς· προσέτι ἡ ἐπὶ δύο ἔτη παντελὴς ἀκινησία πλὴν τῆς χρείας αὐτοῦ καὶ ἡ ἐπὶ ἄλλα δύο ἔτη ὁδοιπορία καὶ ὀρθοστασία εἰς τὴν Κρήτην ὁπότε ἐκοιμᾶτο ἀκουμβῶν ὀλίγον μόνον ἐπί τινος δένδρου ἢ πέτρας, ἄλλοτε ὁ ἐξακοντισμὸς αὐτοῦ ὑπὸ τῶν δαιμόνων εἴς τι βαθύτατον βάραθρον ὅπου πεσὼν ἔστη ὄρθιος καὶ ἔμεινεν ἀβλαβής, ἀκίνητος καὶ ἄσιτος ἐπὶ τεσσαράκοντα ἡμέρας καταλαμπόμενος ὑπὸ τοῦ ἀκτίστου φωτός, ἡ ἀνάστασις τοῦ νεκροῦ τέκνου μιᾶς γυναικὸς εἰς Ἱεροσόλυμα καὶ ἄλλα θαυμασμοῦ ἄξια, ἅτινα φαίνονται εἰς τὸν κατὰ πλάτος βίον αὐτοῦ. Ἐπανελθὼν εἶτα εἰς τὴν Μονὴν Βατοπαιδίου, ἠγωνίζετο ὑπερανθρώπως, γενόμενος πρότυπον ὑπακοῆς καὶ φιλοπονίας· διὸ καὶ ἠξιώθη ὑψηλῶν θεωριῶν. Κατὰ τὸν Μάρτιον τοῦ χιλιοστοῦ τριακοσιοστοῦ τεσσαρακοστοῦ δευτέρου (1342) ἔτους ἀπεστάλη μετ᾽ ἄλλων ἁγιορειτῶν πατέρων εἰς Κωνσταντινούπολιν πρὸς εἰρήνευσιν διαφορῶν μεταξὺ τῶν Βασιλέων, ἔνθα καὶ παρέμεινεν ἀσκητικῶς ἀγωνιζόμενος μέχρι τέλους τοῦ βίου του, ἐπισυμβάντος τὸ χιλιοστὸν τριακοσιοστὸν τεσσαρακοστὸν ἔνατον (1349) ἔτος εἰς τὴν Μονὴν τῆς Χώρας.

Ταῖς τῶν σῶν Ἁγίων ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

**ᾨδὴ ζ´.**

**Τῆς Θεοτόκου. Ὁ Εἱρμός.**

***Ἐν τῇ καμίνῳ, Ἀβραμιαῖοι παῖδες τῇ Περσικῇ, πόθῳ εὐσεβείας μᾶλλον ἢ τῇ φλογί, πυρπολούμενοι ἐκραύγαζον· Εὐλογημένος εἶ, ἐν τῷ ναῷ τῆς δόξης σου Κύριε. (Δίς).***

Σὲ προετύπου, τὸ μὴ φλογίσαν πάλαι θείους παῖδας πῦρ· σὺ γὰρ δεξαμένη πῦρ θεῖον ἐν γαστρί, οὐκ ἐφλέχθης Παναμώμητε· ὅθεν βοῶμέν σοι· Παρθένε χαῖρε θεοχαρίτωτε.

Ὑμνολογοῦμεν, τὴν ἀκατάληπτόν σου Σύλληψιν, Κόρη οἱ Θεοῦ Μητέρα παναληθῆ, ὀρθοδόξως σε κηρύττοντες, καὶ ὡς ὁ Ἄγγελος, βοῶμεν· χαῖρε Θεογεννήτρια.

Μελῳδικῶς σε, ὁ Θεοπάτωρ προεδήλωσε, λέγων ἡ Βασίλισσά σου ἐκ δεξιῶν, ἐμφανῶς παρέστη, Πάναγνε· ἡμεῖς δὲ κράζομεν, τὸ τοῦ Ἀγ γέλου χαῖρε Θεόνυμφε.

Νόμους Παρθένε, σὺ ὑπερέβης τοὺς τῆς φύσεως, οὖσα ὡς πρὸ τό κου καὶ μετὰ τὸ τεκεῖν· εὐδοκίᾳ γὰρ Γεννήτορος, Υἱὸν συνέλαβες. Χαῖ ρε τοῦ Πνεύματος ἐπαλήθευσις.

## Πρῶτος Κανὼν τοῦ Ὁσίου.

*Οὐκ ἐλάτρευσαν.*

Κροτησάτωσαν, μονάζοντες τῷ πνεύμ ατι, καὶ ἡ ὁμήγυρις, Βατοπαιδίου Μονῆς, καὶ σὲ δοξαζέτωσαν, Σάββα πανόσιε, ὡς πλουτοῦντές σε, καύχημα καὶ διάσωσμα, καὶ κανόνα εὐσεβείας.

Ἐπεδήμησεν, ἡμῖν νῦν ἡ πανεύσημος, καὶ θεία μνήμη σου, Σάββα σοφὲ ἡ σεπτή, χαρίτων τοῖς ἄνθεσιν εὐωδιάζουσα, Μονὴν ἅπασαν, καὶ πάντας ἱλαρύνουσα, σὲ πιστῶς προσκαλουμένους.

Βατοπαίδιον, τὴν μνήμην πανηγύριζε, νῦν τοῦ παμμάκαρος, Σάββα ποτὲ φοιτητοῦ· ἀλλὰ νῦν προστάτου σου, φρουροῦ καὶ φύλακος· οὗ ἐν τεύξεσι, καὶ ἱκεσίαις ἄτρωτον, διαμένεις εἰς αἰῶνας.

*Θεοτοκίον.*

Σωματώσασα, τὸν Λόγον τὸν ἀσώματον, Κόρη θεόνυμφε, τοὺς ἐν σωμάτους βροτούς, ἀγγέλους ἀνέδειξας, ἀΰλους ψάλλοντας· Ὑπερ ύμνητε, ὁ τῶν πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

## Ἄλλος. Τοῦ Ὁσίου.

*Θεοῦ συγκατάβασιν.*

Ἀστράπτων ὡς ἥλιος, τὴν οἰκουμένην ἐφωταγώγησ ας· διὸ ἔνδοξε Σάβ-βα, συναθροισθέντες σὲ μακαρίζομεν, τῇ σῇ πρεσβείᾳ αἰτοῦντες πρὸς Κύ-ριον, ἁγιασμὸν διὰ σοῦ λαβεῖν καὶ ἔλεος.

Ἀστράπτων ὡς ἥλιος, τὴν οἰκουμένην ἐφωταγώγησας· διὸ ἔνδοξε Σάβ-βα, συναθροισθέντες σὲ μακαρίζομεν, ταῖς σαῖς αἰτούμενοι Πάτερ ἐντεύξεσι, ἁγιασμὸν ἐκ Θεοῦ λαβεῖν καὶ ἔλεος.

Ἰδοὺ νῦν χαρμόσυνος, ἡμέρα ὄντως λαμπρὰ καὶ εὔσημος, ἐν ᾗ μνή μη τοῦ θείου, Σάββα ἐν Ἄθῳ ἐνθέως ἐπέφανε, τὸν ἱλασμὸν δωρουμένη τοῖς ψάλλουσιν· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

*Δόξα.*

Διώκονται φάλαγγες, τῶν πρεσβειῶν σου Σάββα τοῖς βέλεσι, τῶν δαι-μόνων· σοβεῖ γάρ, τούτους καὶ φλέγει ὥς περ τὴν ὕλην τὸ πῦρ, τὸ σὸν καλούμενον ἅγιον ὄνομα. Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον.*

Ἰδοὺ νῦν πεπλήρωται, Δαβὶδ τοῦ θείου ἡ πάλαι πρόῤῥησις· λιτ ανεύουσιν ὄντως, σοῦ πρὸ προσώπου οἱ πλούσιοι τοῦ λαοῦ, καὶ τῷ Υἱῷ σου Παρ - θένε κραυγάζουσιν· Εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

**Καταβασία.**

*Οὐκ ἐλάτρευσαν τῇ κτίσει οἱ θεό φρονες, παρὰ τὸν Κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν Πατέ ρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.*

**Ὠδὴ η΄.**

**Τῆς Θεοτόκου. Ὁ Εἱρμός.**

*Χεῖρας ἐκπετάσας Δανιήλ, λεόντων χάσματα, ἐν λάκκῳ ἔφραξε· πυ ρὸς δὲ δύναμιν ἔσβεσαν, ἀρετὴν περιζωσάμε νοι, οἱ εὐσεβείας ἐρασταί, παῖ δες κραυγάζοντες· εὐλογεῖ τε, πάντα τὰ ἔργα Κυρίου τὸν Κύριον.* *(Δίς).*

Ὁ Κτίστης τῶν ὅλων καὶ Θεός, ἐν σοὶ σαρκούμενος Παρθένε Ἄ χραντε, Ναόν σε ἔδειξεν ἅγιον, καὶ θεόδεκτον παλάτιον, καὶ ἁγιά σματος σκηνήν· ὅθεν κραυγάζομεν τοῦ Ἀγγέλου· Χαῖρε Νύμφη, Μῆτερ τοῦ πάντων τῶν ὄντων Δεσπόζοντος.

Ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς, τὴν θείαν Σύλληψιν τὴν σὴν Παν άμωμε, πανηγυρίζομεν ἅπαντες, οἱ Μητέρα σε κηρύττοντες, τοῦ Παν τοκράτορος Θεοῦ, καὶ πίστει ψάλλομεν· Χαῖρε κλῖμαξ, γῆθεν πρὸς πό λον πιστοὺς ἡ μετάγουσα.

Σὲ τὴν συλλαβοῦσαν ἐν γαστρί, τὸν πάντων Κύριον ἀσπόρως Ἄ χραντε, συμβολικῶς προεώρακεν, ὁ προφήτης ἀκατάφλεκτον, βάτον καὶ στῦλον τοῦ πυρός· ἡμεῖς δὲ πόθῳ σοι, τοῦ Ἀγγέλου· Χαῖρε βοῶμεν σκη νὴ ἐπουράνιος.

Δύναμις Ὑψίστου ἐπὶ σέ, καὶ Πνεῦμα Ἅγιον σοὶ ἐπεσκίασεν, ἐν τῇ Συλλήψει σου Πάναγνε· σοὶ γὰρ ὁ Θεὸς σεσάρκωται, τοῦ Γαβριὴλ ἐν Ναζαρέτ, χαρὰν κομίσαντος, οὐρανόθεν. Χαῖρε τὸν Λόγον Θεὸν ἡ κυ - ήσασα.

**Πρῶτος Κανὼν τοῦ Ὁσίου.** *Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ.*

Χαίροις ἡ Μονὴ Βατοπαιδίου, τὸν Ὅσιον Σάββαν ἡ βλαστήσασα· οὗ τὰ ὑπὲρ ἄνθρωπον, κήρυττε παλαίσματα, τῆς φεγγοβόλου λάμψεως τοῦ θείου Πνεύματος, ἐμπνέοντα ἀφθόνως τὴν χάριν, καὶ τοῖς ὕμνοις κρότει, αὐτοῦ τὴν θείαν μνήμην.

Ἄδομεν Σάββα χαρμοσύνως, θεόσοφον βίον σου καὶ σκάμματα· πᾶσι τοῖς μονάζουσιν, ὤφθης γὰρ σωτήρι ος, ἐν διδαχαῖς καὶ πράξεσι καὶ ταῖς ἐντεύξεσι, πρὸς Κύριον· ὃν νῦν μὴ ἐλλείπῃς, δυσωπεῖν ἀπαύ στως, ἡμᾶς ἐλεηθῆναι.

Νέος οὐρανὸς Σάββα ἐφάνης, τὸν Κύριον ὥσπερ ἥλιον παμμέγιστον, λάμποντα ἐν χάριτι, ἔχων ἐν τοῖς ἔργοις σου· ὡς δὲ σελήνην πάμφωτον, ἀργυραυγίζουσαν, κτησάμενος τοῦ Πνεύματος χάριν· ὡς φαιδρά τε ἄστρα, τὰ πλήθη τῶν θαυμάτων.

***Θεοτοκίον.***

Ἅγιον ἁγίων ὡς τεκοῦσα, ἁγίοις ἀεὶ τὸν ἐπαναπαυόμενον, καὶ ὡς μόνη στήσασα, κατ᾽ ἐχθρῶν παγκράτιον, τῶν ἀοράτων πάναγνε, τὸν νοῦν φυλάξασα, ἀνώτερον ἐννοίας ἀτόπου, καλῇ παρὰ πάντων, δικαίως Παναγία.

**Ἄλλος. Τοῦ Ὁσίου.** ***Ἑπταπλασίως κάμινον.***

Νόμῳ σοφὲ πειθόμενος, ἀπανέστης πατρίδος σου, Ὄρει τῷ τοῦ Ἄθω, προσδραμὼν ὡς ἔλαφος, καὶ ἤσκησας ἄριστα· λοιπὸν καὶ νῦν ὁ στέφανος, τῆς δικαιοσύνης, ἀπόκειταί σοι βοῶντι· Οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Ὄντως θαυμάτων χάριτας, τοῖς ὑμνοῦσί σε Ὅσιε, ἄνωθεν βραβεύεις τῆς ψυχῆς καὶ σώματος, παντοῖα παθήματα, θεραπευούσας τάχιστα, Σάββα θεοφόρε, τῶν πιστῶς μελῳδούντων· Οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Εὐλογοῦμεν Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα τὸν Κύριον ὑμνοῦμεν.*

Νῦν ἡ λαμπρὰ πανήγυρις, τοῦ Ὁσίου ἐπέλαμψε, πάντων μοναζόντων, τὰς ψυχὰς φωτίζουσα, θαυμάτων ταῖς λάμψεσι, καὶ ταῖς ποικίλαις χάρισι, καὶ πανευλαβῶς, προτρέπουσα ἀνακράζειν· Οἱ Παῖδες εὐλογεῖτε, ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

*Καὶ νῦν.* ***Θεοτοκίον.***

Μῆτερ Θεὸν καὶ Κύριον, ὑπὲρ λόγον κυήσασα, τοῦτον ὡς Υἱόν σου, Παναγία αἴτησαι, ἐν ὥρᾳ τῆς κρίσεως, τῆς καταδίκης καὶ τοῦ πυρός, σκότους ἀφεγγοῦς, καὶ τοῦ βρυγμοῦ τῶν ὀδόντων, λυτρώσασθαι τοὺς πίστει, τῷ Υἱῷ σου βοῶντας· Λαὸς ὑπερυψοῦτε, Αὐτὸν τοὺς αἰῶνας.

**Καταβασία.**

*Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τὸν Κύριον.*

***Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος· νῦν δὲ ἐνεργούμενος, τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.***



**Ὠδὴ θ΄.**

**Τῆς Θεοτόκου. Ὁ Εἱρμός.**

*Λίθος ἀχειρότμητος ὄρους, ἐξ ἀλαξεύτου σου Παρθένε, ἀκρογωνιαῖος ἐτμήθη, Χριστὸς συνάψας τὰς διεστώσας φύσεις, διὸ ἐπαγαλλόμενοι, σὲ Θεοτόκε μεγαλύνομεν.* *(Δίς).*

Εὔας τῆς προμήτορος Κόρη, νῦν τὸ κατάκριμα ἐλύθη, διὰ σοῦ Παρθένε ἐν μήτρᾳ, Θεὸν φερούσης· διὸ ἀγαλλομένη, τὸ χαῖρε πόθῳ κράζει σοι, ἀγγελικῶς σὺν τῷ Προπάτορι.

Χαῖρε τοῦ Δεσπότου τῶν ὅλων, ἔμψυχον τέμενος Παρθένε· χαῖρε ἡ λυχνία καὶ στάμνος, τὸ θεῖον μάννα, κρατοῦσα ἐν γαστρί σου, πάντας γλυκαῖνον χάριτι· Χαῖρε τὸ θεῖον ἐνδιαίτημα.

Ὄρος ἀλατόμητον πάλαι, ὁ Δανιὴλ συμβολικῶς σε, Μῆτερ τοῦ Σωτῆρος προεῖδεν· ἐκ σοῦ γὰρ λίθος ὁ ἀκρογωνιαῖος, Χριστὸς ἐτμήθη Κύριος, ἄνευ σπορᾶς. Χαῖρε Πανάμωμε.

Ὕμνοις τὴν σεπτὴν καὶ φαιδράν σου, πανηγυρίζομεν Παρθένε, Σύλληψιν ἐν πίστει καὶ πόθῳ, Σὺ δὲ σὴν ποίμνην παντοίας ῥῦσαι βλάβης, καὶ τοὺς ὑμνοῦντας φύλαττε. Χαῖρε Θεοῦ κατοικητήριον.

### Πρῶτος Κανὼν τοῦ Ὁσίου.

*Ἅπας γηγενής.*

Σοῦ τὰ ἱερά, καὶ θεῖα παλαίσματα, νῦν εὐφημούμενα, εὐωδίαν πέμπουσι, τοῦ Παρακλήτου καὶ καταυγάζουσι, Σάββα θεομακάριστε τοὺς σὲ ὑμνοῦντας φαιδρῶς, οἷς βραβεύεις, ἄνωθεν τὸ ἔλεος, καὶ ψυχῶν ἱλασμὸν ταῖς πρεσβείας σου.

Σάββα τοῦ σοφοῦ, τὴν μνήμην φιλέορτοι πανηγυρίζοντες, δεῦτε ἀγαλλίασιν, ἐνθέῳ πόθῳ ἀπαρυσώμεθα, ὡς πρεσβευτὴν πλουτήσαντες, αὐτὸν καὶ κράξωμεν, ὁλοψύχως· Σκέπε ἡμᾶς πάντοτε , καὶ Μονὴν τὴν τιμῶσάν σε φύλαττε.

Πάντας τοὺς τὴν σήν, τελοῦντας πανήγυριν τὴν ἀεισέβαστον, λύτρωσαι πρεσβείαις σου, κινδύνων νόσων καὶ πάσης θλίψεως, ὡς ῥύστης τῶν ἐκ πίστεως λιτανευόντων σε, καὶ Μονήν σου, Σάββα σὺν τῇ ποίμνῃ σου, βλάβης πάσης ἀλώβητον τήρησον.

*Θεοτοκίον.*

Ὕψος οὐρανοῦ, καὶ γῆς βάθος ἄπειρον, τίς ἑρμηνεύσειε, Κόρη Ἀειπάρθενε; οὕτω τὸ ὕψος τοῦ μυστηρίου σου, πῶς νοῦς σμικρὸς δυνήσεται, καὶ περιπέζιος, ἑρμηνεῦσαι, βάθος τε τὸ ἄπειρον, τῆς ἀσπόρου λοχείας σου Πάναγνε.

### Ἄλλος. Τοῦ Ὁσίου.

*Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός.*

Ἐνθέου ἀπολαύων Πάτερ ζωῆς, ὑπὲρ ἧς ἠγωνίσω πρὸς δύναμιν, ἐπὶ τῆς γῆς, βίῳ διαπρέψας ἀγγελικῷ, καὶ μεταβὰς μακάριε, Σάββα πρὸς ἀΰλους διαμονάς, σωθῆναι θεοφόρε, δυσώπει τὴν Μονήν σου, Βατοπαιδίου τὴν τιμῶσάν σε.

**Λ**ειμῶσι τῶν Ἀγγέλων ἐν οὐρανῷ, τῷ τῶν ὅλων Θεῷ παριστά μενος, ἐπὶ τῆς γῆς, πέμπεις τῇ πρεσβείᾳ σου δωρεάς, πᾶσι τοῖς σεβο μένοις σε, καὶ ἀνευφημοῦσι πανευλαβῶς, καὶ πόθῳ σε αἰτοῦσι, Σάββα τοῦ Ἄθω κλέος, καὶ τῆς Μονῆς σου μέγα καύχημα.

*Δόξα.*

**Π**αρῆλθες μὲν τὰ ῥέοντα καὶ φθαρτά, καὶ τὸ ἄστατον τούτων διέ πτυσας, καὶ χαμερπές, τῶν ἀεὶ μενόντων ἀποσκοπῶν, πανσόφως τὸ ἀΐ διον· ὅθεν καὶ ἐγένου φωτοειδής· καὶ νῦν χάριτι θείᾳ, θέσει θεὸς ἐγέ νου, Σάββα φωτὶ θείῳ λαμπόμενος.

*Καὶ νῦν.* ***Θεοτοκίον.***

**Ὠ**δάς σοι εὐχαρίστους, πάντες ἡμεῖς, οἱ τὸ Ὄρος οἰκοῦντες προσ φέρομεν, Μῆτερ Θεοῦ, ὅτι διασῴζεις ἡμᾶς ἀεί, ἐκ πάσης περιστάσεως, τρέ φεις τε καὶ θάλπεις καὶ προνοεῖς. Ἀλλὰ δεό μεθά σου, καὶ θείας Βασιλείας, μετὰ τὸ τέλος καταξίωσον.

## Καταβασία.

***Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων Νόων φύσις γεραίρουσα, τὰ ἱερὰ θαυμάσια τῆς Θεομήτορος, καὶ βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε Ἁγνὴ Ἀει πάρθενε.***

## Ἐξαποστειλάρια.

***Ἦχος β΄. Τοῖς μαθηταῖς συνέλθωμεν.***

**Φ**ῶς ὁ Χριστὸς καλούμενος, μεθεκτόν τε καὶ πρῶτον, φῶς καὶ σὲ ὄν τως Ὅσιε, δεύτερον καὶ μετέχον, Σάββα σοφὲ ἀνέδειξε· τὴν αὐγὴν ἐξ ἐ κείνου, λαβὼν γὰρ παμμακάριστε, νῦν ἐκπέμπεις τοῖς πᾶσι, φωτι στικάς, καὶ εἰρηνοδώρους Πάτερ ἀκτῖνας· διὸ ἀνευφημοῦμέν σε, καὶ τιμῶμεν σὴν μνήμην.

**Ἕτερον τοῦ Ὁσίου, ὁμοῦ καὶ Θεοτοκίον.** ***Ὅμοιον.***

**Ἐ**κ βρεφικῆς σε ἔλαβεν, ἡλικίας ὁ Πλάστης, καὶ Πνεύματος ἄνε δειξε, σκήνωμα τοῦ Ἁγίου· ὅθεν φωστὴρ ἀνεδείχθης, Σάββα τῶν μονα ζόντων, Ἄθω τερπνὸν ἀγλάϊσμα, καὶ Μονῆς σου τὸ κλέος· ἣν σαῖς λι ταῖς, καὶ Ἁγνῆς Παρθένου καὶ Θεοτόκου, φύλαττε ἀδιάσειστον, εἰς αἰ ῶνας αἰώνων.

## Εἰς τοὺς Αἴνους.

### Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν στιχηρὰ Προσόμοια.

***Ἦχος δ΄. Ὁ ἐξ Ὑψίστου κληθείς.***

**Ὡ**ς θεϊκή τις σαφῶς κληρονομία, ἡμῖν ἀναδέδεικται ἡ πολιτεία σου, Σάββα θεόφρον δεικνύουσα, τῆς ὑψηλῆς σου, διαγωγῆς τὰ θεῖα γνω ρίσματα, καὶ τὴν παῤῥησίαν σου, ἣν πρὸς Θεὸν σὺ πλουτεῖς· φῶς γὰρ εἰς φαῦσίν σε πάμφωτον, τῶν μοναζόντων, ἡ θεία χάρις ἐνα πεφήνατο, λελαμ-

πρυσμένον ταῖς ἀκτῖσι, τῆς Τρισηλίου αὐγῆς πανσεβάσμιε· ἣν ἱκέ τευε σῶσαι, καὶ φωτίσαι τὰς ψυχὰς ἡμῶν.

Ὡς ἐξ ἀλήκτων πηγῶν τῆς σωτηρίου, καὶ θείας χρηστότητος ἀεὶ τὴν χάριν ἀντλῶν, Σάββας τὰ ἆθλα προτίθησιν, εἰς εὐωχίαν, τῆς τού του μνήμης ἐν ᾗ ἐκάλεσε, τοὺς πάντας ἐν Πνεύματι, χαρίτων θείων πληρῶν· δεῦτε λοιπὸν καὶ συνδράμωμεν, καὶ εὐλογίας, τῆς θεοσδότου αὐτοῦ μετάσχωμεν, οἱ προσελθόντες, καὶ δοξάσωμεν, τὸν ἐν ἁγίοις Χριστὸν τὸν Θεὸν ἡμῶν, δοξαζόμενον ὄντως, καὶ αὐτοῖς ἀναπαυόμενον.

Βατοπαιδίου Μονὴν καταλαμπρύνας, τῷ βίῳ σου Ὅσιε, Σάββα μακάριε, κεκαθαρμένος τῷ σώματι, καὶ ἀγλαΐαις, τῶν ἀρετῶν σου πάντας ἐφαίδρυνας· ὅλος γὰρ οὐράνιος, ἐν γῇ ἐτέλεσας, καὶ ἀρετῶν διὰ πρά ξεως, ἐκτελουμένων, εὗρες πορείαν τὴν ὑψιβάμονα· ὅθεν καὶ πάντες ταῖς τιμίαις σου, καὶ σεπταῖς ὑποθήκαις στηρίζονται, προσ λαμβάνοντες ζῆλον, ὑπὸ σοῦ παιδαγωγούμενοι.

Θεοφεγγέσι στιλπνότησι τρισμάκαρ, Σάββα θεοείκελε, τῶν θείων ἔργων σου, φωτοβολῶν τὸν περίχωρον, Μακεδονίας, διασκεδάζεις ἀχλὺν τῶν θλίψεων, καὶ χάος βαθύτατον, τῶν καρδιῶν ἡμῶν· ὅθεν Μονῆς σου ἑδραίωμα, Βατοπαιδίου, καὶ τῶν ἐν Ἄθῳ φῶς ἐχρημάτισας, οἳ καὶ τὴν μνήμην σοῦ τὴν ἔνθεον, καὶ φωταυγῆ καὶ σωτήριον Ὅσιε, ἐκ τελοῦμεν πταισμάτων, διὰ σοῦ λύσιν αἰτούμενοι.

### *Δόξα. Ἦχος πλ. δ΄.*

Ἡ πνευματικὴ μονὴ τοῦ Παρακλήτου, Σάββας ὁ θεόφρων Πατὴρ ἡμῶν, πάντας τοὺς πνευματικοὺς δαιτυμόνας τῆς πνευματικῆς αὐτοῦ πανδαισίας, συγκαλεῖται ἐν ὑψηλῷ κηρύγματι λέγων· δεῦτε οὐρανίων δωρεῶν τρυφήσατε εἰς Ναὸν οὐκ ἐμόν, ἀλλὰ τῆς Πανάγνου Βηματαρίσσης, ἐν ᾧ τελεῖται ἡ μνήμη μου. Ἴδετε λαμπρὰν πανήγυριν, ἐν ᾗ καὶ χορηγεῖται πᾶσιν ἀφθόνως, οὐρανόθεν ἡ Χάρις, καὶ διττὸν τὸ πλούσιον ἔλεος, εἰς ἀπόλαυσιν, καὶ ζωὴν τὴν αἰώνιον.

### *Καὶ νῦν. Θεοτοκίον.*

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Δοξολογία Μεγάλη· μεθ᾽ ἣν τὸ Ἀπολυτίκον τοῦ Ἁγίου, ἡ λοιπὴ ἀκολουθία καὶ Ἀπόλυσις.**



### Εἰς τὴν Θείαν Λειτουργίαν

**Ψάλλομεν Τυπικά. Εἰς δὲ τοὺς Μακαρισμούς, γ΄ καὶ ς΄ Ὠδὴν τοῦ Ὁσίου.**

Ὠδὴ γ΄. *Ἦχος δ΄. Τοὺς σοὺς ὑμνολόγους.*

Ὁ ἔνθεος βίος σου ὢν πλήρης, θαυμάτων λαμπρῶν καὶ ἀρετῶν, Σάββα δεικνύει ἅπασι, τῆς χάριτος τεκμήριον, δι᾽ ἧς θεόφρον γέγονας, σεπτὸν δοχεῖον τοῦ Πνεύματος.

Ψαλμοῖς παννυχίοις σου γεραίρει, τὴν μνήμην ὁμοῦ καὶ ἑορτήν, Σάββα θεόφρον Ὅσιε, Μονή σου Βατοπαίδιον, ἣν ἔτι ζῶν ἐτίμησας, θανὼν δὲ αὖ εὐηργέτησας.

Τὸν ἔνθεον βίον σου ὦ Σάββα, ὁ Ὕψιστος ἔδειξεν ἡμῖν, ἀσκήσεως ὑπόδειγμα, καὶ τύπον ταπεινώσεως· τοῦ Πνεύματος γὰρ γέγονας, θεόφρον κατοικητήριον.

*Θεοτοκίον.*

Ἡ μόνη τὸν Ἅγιον τεκοῦσα, καὶ μόνον παντὸς ἁγιαστήν, ἁγιασμόν σου δὸς ἡμῖν, οἰκοῦσιν ἐν τῷ Ὄρει σου, Χριστοῦ λαόν τ᾽ εὐλόγησον, καὶ σοῦ τὴν Ποίμνην διάσωσον.

Ὠδὴ ς΄. *Ἦχος πλ.δ΄. Ἱλάσθητί μοι Σωτήρ.*

Βατοπαιδίου Μονή, ἀγάλλου σκίρτα καὶ χόρευε, ἐν τέκνοις τὸν θαυμαστόν, ἐν πᾶσι κατέχουσα, Σάββαν· τὸν θεόσοφον, οὗτινος ὁ βίος, τοῖς Ἀγγέλοις ἐξωμοίωται.

Τὰς κοσμικὰς ἡδονάς, ἐκ βρέφους Σάββα ἐμίσησας· ὑπακοὴν ἀληθῆ, ἁγνείαν καὶ ἄσκησιν, ποθήσας ἐβίωσας, ὡς ἄσαρκος Πάτερ, καὶ θαυμάτων χάριν εἴληφας.

Ὁ πόθος ὁ πρὸς Θεόν, καὶ ἔρως ὁ ἐκ καρδίας σου, καὶ ἡ θερμή σου στοργή, ὅλον ἀνεπτέρωσε, φαιδρὸν ἐκτελέσας σε, Σάββα θεοφόρε, παλαιοῦ Σάββα συνόμιλε.

*Θεοτοκίον.*

Παράδεισε λογικέ, ναὲ Θεοῦ πόλις ἔμψυχε, χαῖρε πηγὴ τῆς ζωῆς, ἐξ ἧς ἡμῖν ἔλαμψεν, ὁ ζωαρχικώτατος Ἰησοῦς ἡ πάντων, ἀγαλλίασις καὶ λύτρωσις.

**Ἀπολυτίκιον.**

*Ἦχος γ΄. Θείας πίστεως.*

Ἔργοις ἔλαμψας, τῆς εὐσεβείας, πᾶσαν ηὔγασας, τὴν οἰκουμένην, ὑψοποιῷ τῇ ταπεινώσει κοσμούμενος, Βατοπαιδίου Μονῆς σεμνολόγημα,

καὶ Ὄρους Ἄθω καλλονὴ καὶ ὡράϊσμα· Σάββα πάνσοφε, χαρίτων ἐνθέων ἔμπλησον, τοὺς πόθῳ σου τὴν μνήμην ἑορτάζοντας.

**Κοντάκιον.**

*Ἦχος πλ.δ΄. Τῇ Ὑπερμάχῳ στρατηγῷ.*

Ὡς τῶν Ὁσίων τῶν ἐν Ἄθῳ σε ἀκραίμονα, Βατοπαιδίου τε Μονῆς φρουρὸν καὶ πρόμαχον, θείοις ᾄσμασι γεραίρομεν εὐφημοῦντες, δὸς οὖν Πάτερ καὶ ἡμῖν τὴν σὴν ἀντίληψιν, ὑπὲρ πάντων ἐξαιτούμενος τὸν Κύριον, τῶν βοώντων σοι· Χαίροις Σάββα Πατὴρ ἡμῶν.

**Καὶ τέλος Κοντάκιον τὸ «Τῇ Ὑπερμάχῳ».**

***Ἀποστολοευαγγέλιον ζήτει τῇ 5η Δεκεμβρίου, τοῦ Ὁσίου Σάββα τοῦ Ἡγιασμένου.***

***Κοινωνικόν·*** *Εἰς μνημόσυνον…*



**ΤΕΛΟΣ ΚΑΙ ΤΩ ΘΕΩ ΔΟΞΑ**